eul_wid: udm-aj

*Πορφύριος ὁ Τύριος* · Porphyry of Tyre

# On the Vatican Codex

*Ζητήματα τοῦ Βατικανοῦ κώδικος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Neoplatonist

281 (1t) I. ΖΗΤΗΜΑΤΑ CODICIS VATICANI. Πολλάκις μὲν ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις Ὁμηρικῶν ζητημάτων γινομένων, Ἀνατόλιε, κἀμοῦ δεικνύναι πειρωμένου, ὡς αὐτὸς μὲν ἑαυτὸν τὰ πολλὰ Ὅμηρος ἐξηγεῖται, ἡμεῖς δὲ ἐκ τῆς παιδικῆς κατηχήσεως περινοοῦμεν μᾶλλον ἐν τοῖς πλείστοις ἢ νοοῦμεν ἃ λέγει, ἠξίωσας ἀναγράψαι με τὰ λεχθέντα μηδὲ διαπεσόντα ἐᾶσαι ὑπὸ τῆς λήθης ἀφανισθῆναι. μὴ ὢν δὲ οἷός τε πρὸς τὰς σὰς δεήσεις ἀντιβλέπειν διὰ σὲ καὶ τοὺς ἄλλους Ὁμήρου ἐραστάς, πειράσομαι τά τε ῥηθέντα ποτὲ ἀνενεγκεῖν τά τε πάλιν ὑποπεσόντα προσθεῖναι, τὰς μὲν μείζους εἰς Ὅμηρον πραγματείας ὑπερτιθέμενος εἰς καιρὸν σκέψεως τὸν προσήκοντα, ταυτὶ δὲ οἷον προγύμνασμα τῶν εἰς αὐτὸν ἀγώνων, ἐν οἷς ἀγνοεῖται μὲν πολλὰ τῶν κατὰ τὴν φράσιν. λανθάνει δὲ τοὺς πολλοὺς τῇ δοκούσῃ ἐπιτρέχειν τῶν ποιημάτων ὁλοσχερεῖ σαφηνείᾳ προσέχοντας. αὐτὸς δὲ ἕκαστος ἑαυτὸν ἀνακρίνων εὐθυνέτω, πρὶν ὑφ’ ἡμῶν ἐπαχθῆναι τὴν ἐξήγησιν, ποίαν περὶ τῶν προβαλλομένων ἐπῶν εἶχε τὴν διάνοιαν. ἢ γὰρ ταὐτὰ γνοὺς ἡμᾶς λέγοντας βεβαίαν τὴν περὶ τῶν νοηθέντων ἕξει κρίσιν, ἢ σφαλλόμενος μεταβήσεται ἡμᾶς τε ὀνήσει πλανωμένους διορθώσας. αʹ. Ἐζητοῦμεν τὸν νοῦν τε τούτων καὶ τὰς λέξεις· εἶμι μὲ ν , οὐ δ ’ ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύ ω , ἔμπορο ς , οὐ γὰρ νηὸς ἐπήβολος οὐ δ ’ ἐρετάων γίγνομα ι , ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι (β 318—20)· τί σημαίνει τὸ ἔμπορος καὶ τὸ ἐπήβολος καὶ πρὸς τί ἀναφέρεται τὸ ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶνα ι; τὸ μὲν οὖν ἔμπορος οὐ κατὰ τὴν συνήθειαν τέτακται παρ’ Ὁμήρῳ, ἀλλ’ ἐπὶ τῶν ἐπ’ ἀλλοτρίας νηὸς περώντων, οὓς συνήθως ἐπιβάτας νῦν λέγομεν.

282 αὐτὸς γοῦν ἐν ἄλλοις παρίστησι λέγων (ω 299. 300)· ἢ ἔμπορος εἰλήλουθας νηὸς ἐ π ’ ἀλλοτρίης, τῶν Ἀττικῶν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὲν μαχομένους ἐπιβάτας καλούντων, τοὺς δὲ τὰς κώπας καὶ τὰ πηδάλια ἔχοντας ἐπικώπους. ὅπερ δὲ παρὰ τῷ ποιητῇ τῶν ἐπὶ τοῖς ἅρμασιν οἱ μὲν μαχόμενοι παραιβάται, οἱ δὲ τὰς ἡνίας ἔχοντες ἡνίοχοι, τοῦτο ἐπὶ τῶν ἐν ταῖς τριήρεσιν ἐπίκωποι καὶ ἐπιβάται παρ’ Ἀττικοῖς δύνανται. οὐ μέντοι ὁ ἔμπορος ἀπὸ τοῦ πορίζειν πεποίηται παρ’ Ὁμήρῳ, ἀλλ’ ἀπὸ τοῦ πόρου, τοῦτ’ ἔστι τῆς πορείας.

283 τὸν δὲ πόρον κυρίως ἐπὶ τῆς τοῦ ὕδατος τάττει πορείας, λέγων· ὅσ ς ’ ἐμόγησα πόρους ἁλὸς ἐξερεείνων (μ 259), καὶ ἀλ λ ’ ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο (Ξ 433). ὡς οὖν τὸ μὴ ἐν οἰκείῳ οἴκῳ γαμεῖν ἀλλ’ ἐν ἀλλοτρίῳ ἐγγαμεῖν λέγουσιν, οὕτως τὸ ἐπ’ ἀλλοτρίας νηὸς τὸν πλοῦν ποιεῖσθαι ἐμπορεύεσθαι, καὶ ἔμπορος ὁ τοιοῦτος. τὸ δὲ ἐπήβολος σημαίνει τὸν ἐπιτυχῆ

καὶ ἐγκρατῆ, ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν, ὃ σημαίνει τὸ τυγχάνειν τοῦ σκοποῦ, ὅθεν καὶ τὸ σὺ δ ’ ἐνὶ φρεσὶ βάλλεο σῇσι (Α 297), τοῦτ’ ἔστιν ἐπιτυχῶς λάμβανε. καὶ ἡ βουλὴ δὲ οἷον βολή τις, ὅθεν ἔφη· σῇ δ ’ ἥλω βουλῇ Πριάμοιο πόλις (χ 230), ὡς εἰ ἔφη· τοῖς σοῖς ὅπλοις ἢ τόξοις ἢ βέλεσι. λύσεις ἐντεῦθεν καὶ τὸ ἡ δὲ Φερὰς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ (ο 296)· μετῆκται γὰρ ἀπὸ τῶν πόρρω τὴν ἐπιβολὴν ποιουμένων ὥστε τυχεῖν· ἡ ναῦς οὖν ἐπιβολὴν ἐποιεῖτο ὥστε τυχεῖν τῶν Φερῶν. οὕτω τῇ λέξει καὶ οἱ μεθ’ Ὅμηρον κέχρηνται· Σοφοκλῆς Ἀλκμαίωνι (fr. 95 D.)· „εἴθ’ εὖ φρονήσαντ’ εἰσίδοιμί πως φρενῶν ἐπήβολον καλῶν σε“, Πλάτων νόμων πρώτῳ (pot. II, p. 666 D)· „ἐπήβολοι γεγονότες τῆς καλλίστης ᾠδῆσ“, [καὶ τετάρτῳ (p. 724 B)· παιδείας γίνονται κατὰ δύναμιν ἐπήβολοι], Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου (fr. 81 Bl.)· „μηδέποτε πολέμου μήτε πολιτείας ἐπηβόλους γενέσθαι“, Ἄρχιππος Πλούτῳ (I, p.

284 687, 37 K.)· „νῦν ὡς ἐγενόμην χρημάτων ἐπήβολοσ“. ἔστι δὲ οὐ ποιητικὴ λέξις ἀλλ’ Ἀττική. τί οὖν αἱ λέξεις σημαίνουσι δεδήλωται, τὸ δὲ ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι σὺν βαρύτητι εἴρηται, λέγοντος Τηλεμάχου· ἐν ἀλλοτρίᾳ πλευσοῦμαι νηί· οὐ γάρ εἰμι ἐπιτυχὴς ἰδίας νηός, οὐδὲ ἐρέτας κέκτημαι, τοῦτο γὰρ ὑμῖν ὠφελιμώτερον εἶναι ἐφάνη, τοῦτ’ ἔστι τὸ μὴ ἔχειν ἐμὲ ἰδίαν ναῦν ἀλλ’ ἔμπορον πλεῖν· ἀναφέρει δὲ εἰς ἐκεῖνο, ὅτι εἰς πενίαν αὐτὸν κατέστησαν. προεῖπε γάρ· ἦ οὐχ ἅλι ς , ὡς τὸ πρόσθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ κτήμα τ ’ ἐμ ά , μνηστῆρε ς , ἐγὼ δ ’ ἔτι νήπιος ἦα (β 312. 13). ἔστιν οὖν οὕτω τὸ νόημα· ἀντὶ ναυκλήρου δι’ ὑμᾶς ἐπιβάτης γέγονα τἀμὰ καταναλώσας. β′. Editum K 416. γ′ Vatic.

284col1 (17) Τὸ αἰόλον οὐκ οἶδ’ ὅθεν τῶν γραμματικῶν τινες ἐπὶ τοῦ ποικίλου παρ’ Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· οὕτω γοῦν τὸ αἰολόπωλον (Γ 185) ἀποδιδόασι καὶ τὸ αἰόλος ἵππος (Τ 404) καὶ αἰόλον ὄφιν (Μ 208), οὐκ ἔστι δὲ ἀλλὰ σημαίνει τὸν ταχύν, γενόμενον ἀπὸ τῆς ἀέλλης, ἥτις ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν πεποίηται, ὡς αὐτὸς ἐξηγήσατο εἰπών· ὅνπερ ἄελλαι χειμέριαι εἰλέωσιν (Β 293.

285col1 94), ἤτοι εἰλῶσιν. ὡς καὶ ἐπὶ τοῦ βορρᾶ ἔφη· εἴλει γὰρ βορέης ἄνεμος (τ 200). ἡ μὲν οὖν ἄελλα ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν, ἡ δὲ θύελλα ἀπὸ τοῦ θύειν καὶ εἰλεῖν, θύειν δὲ τὸ σφοδρῶς ὁρμᾶν δίκην μαινομένων· ἦ γὰρ ὅ γ ’ ὀλοῇσι φρεσὶ θύει (Α 342), ὅθεν καὶ Θυάδες αἱ Βάκχαι. ὡς οὖν ἀελλόπους ἡ Ἶρις λέγεται (Θ 409), ἣν μεταλαβὼν ποδήνεμον προσηγόρευκεν (Β 786), οὕτω τὸν ποδώκη ἵππον μεταλαμβάνων πόδας αἰόλος ἵππος εἶπε· καὶ ὡς εἰπὼν ἀργίποδας κύνας (Ω 211) κατὰ περίληψιν ἀλλαχοῦ ἔφη καὶ κύνας ἀργούς (Α 50), οὕτω τοὺς πόδας αἰόλους ἵππους κατὰ τὴν περίληψιν αἰολοπώλους ἔφη. καὶ αἰόλαι οὖν εὐλαί (Χ 509) ἀπὸ τοῦ εἰλεῖσθαι ταχέως λέγονται, καὶ σφῆκες μέσον αἰόλοι (Μ 167) οἱ κατὰ τὸ μέσον συνεχῶς κινούμενοι καὶ εἰλούμενοι. καὶ κορυθαιόλος οὖν ὁ συνεχῶς κινῶν τὴν κόρυθα, ὃ μεταποιῶν ἐπὶ τοῦ Ἄρεος ἔφη· ἶσος Ἐνυαλίῳ κορυθάικι (Χ 132).

286col1 λύσεις ἐντεῦθεν καὶ τὸ ὡς δ ’ ὅτε γαστέ ρ ’ ἀνὴρ πολέος πυρὸς αἰθομένοιο ἐμπλείην κνίσσης τε καὶ αἵματος ἔνθα καὶ ἔνθα αἰόλλῃ (υ 25—27)· δηλοῖ οὖν τὸ εἰλεῖν καὶ συνεχῶς στρέφειν. ἐκ δὲ τοῦ κορυθάικι λύσεις τὸ Δωριέες τε τριχάικες (τ 177), οἱ συνεχῶς τὰς τρίχας διὰ τὸ δραστικὸν κινοῦντες· καρηκομόωντες εἴρηνται. * B f.

284col2 (17) 89 a ad κορυθαιόλος Ζ 359 (id. L f. 137 ibid., Π). Οὐκ οἶδ’ ὅθεν τῶν γραμματικῶν τινες τὸ αἰόλον ἐπὶ τοῦ ποικίλου παρ’ Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· οὕτω γοῦν τὸ αἰολόπωλον ἀποδιδόασι καὶ πόδας αἰόλος ἵππος καὶ τὸ αἰόλον ὄφι ν. οὐκ ἔστι δὲ οὕτως ἀλλὰ σημαίνει τὸν ταχύν, γενόμενον ἀπὸ τῆς ἀέλλης, ἥτις ἀπὸ τοῦ ἄειν καὶ τοῦ εἰλεῖν πεποίηται, ὡς αὐτὸς ἐξηγήσατο εἰπών· ὅνπερ ἄελλαι χειμέριαι εἰλέωσι, τουτέστιν εἰλῶσιν.

285col2 ὡς καὶ ἐπὶ τοῦ θύελλα ἀπὸ τοῦ θύειν καὶ εἰλεῖν, ἄνεμος. ἡ μὲν οὖν ἄελλα ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν πεποίηται, ἡ δὲ θύελλα ἀπὸ τοῦ θύειν καὶ εἰλεῖν, θύειν δὲ τὸ σφοδρῶς καὶ ἀκαθέκτως ὁρμᾶν δίκην μαινομένων· ἦ γὰρ ὅ γ ’ ὀλοῇσι φρεσὶ θύει καὶ θῦνε διὰ προμάχων (Ε 250), ὅθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Θυάδες αἱ Βάκχαι. ὡς οὖν ἀελλόπος Ἶρις λέγεται, ἣν μεταλαβὼν ποδήνεμον προσηγόρευσεν, οὕτως τὸν ποδώκη ἵππον μεταλαμβάνων πόδας αἰόλος ἵππος ἔφη· καὶ ὥσπερ εἰπὼν ἀργίποδας κύνας κατὰ περίληψιν ἀλλαχοῦ ἔφη καὶ κύνας ἀργούς, οὕτω τοὺς τοὺς πόδας αἰόλους ἵππους κατὰ περίληψιν αἰολοπώλους εἶπε. καὶ αἰόλαι, οὖν εὐλαί ἀπὸ τοῦ ταχέως εἰλεῖσθαι εἴρηνται καὶ σφῆκες μέσον αἰόλαι αἱ κατὰ μέσον συνεχῶς κινούμεναι καὶ εἰλούμεναι. καὶ κορυθαιόλος οὖν ὁ συνεχῶς κινῶν τὴν κόρυθα, ὃ μεταποιῶν ἐπὶ τοῦ Ἄρεως ἔφη· ἶσος Ἐνυαλίῳ κορυθάικ ι.

286col2 λύσεις δ’ ἐντεῦθεν καὶ τὸ ὡς δ ’ ὅτε γαστέ ρ ’ ἀνὴρ πολέος πυρὸς αἰθομένοιο ἐμπλείην κνίσης τε καὶ αἵματος ἔνθα καὶ ἔνθα αἰόλλ η· δηλοῖ τὸ εἰλεῖν καὶ συνεχῶς στρέφειν. ἐκ δὲ τοῦ κορυθάικι λύσεις τὸ Δωριέες τε τριχάικες, οἱ συνεχῶς τὰς τρίχας διὰ τὸ δραστικὸν κινοῦντες· καρηκομόωντες γὰρ εἴρηνται οἱ Ἀχαιο ί. δ′—ζ′.

286 (15n) δ′ editum Ψ 422, p. 263; ε′ = I 1, p. 125; ς′=ibid., p. 128; ζ′ = Σ 509, p. 226. η′. Ἐν τοῖς Φιλήμονος συμμίκτοις περὶ Ἡροδοτείου διορθώματος ὁ γραμματικὸς διαλεγόμενος πειρᾶται καὶ Ὁμηρικά τινα σαφηνίζειν. οὐδὲν δὲ χεῖρον καὶ τὸν Ἡρόδοτον φιλοῦντί σοι τὴν πᾶσαν τοῦ ἀνδρὸς ἀναγράψαι ζήτησιν. φησὶ γὰρ ὅτι ἐν τῇ πρώτῃ Ἡρόδοτος τῶν ἱστοριῶν περὶ Κροίσου τοῦ Λυδοῦ πολλά τε ἄλλα διείλεκται, καὶ μὴν ὅτι θεοσεβέστατος γένοιτο καὶ διαπρεπῶς τιμήσαι τὰ Ἑλληνικὰ μαντεῖα, τὰ ἐν Δελφοῖς, τὰ ἐν Θήβαις, τὸ τοῦ Ἄμμωνος, τὸ τοῦ Ἀμφιαράου· τοῦτο μὲν δὴ ἄλλοις ἄλλα πέμψαι δῶρ α , ἀνέθηκε δέ τινα καὶ ἐν Βραγχίδῃσι τῇσι Μιλησίω ν. καὶ γέγραπται ἤδη κατὰ πάντα ἁπλῶς τὰ ἀντίγραφα τὸ τῆς ἄρθρον σὺν τῷ ἰῶτα ἰσοδυναμοῦν τῷ ταῖς.

287 οὐδένα γε μὴν Ἑλλήνων ὑπομεῖναι θηλυκῶς τὰς Βραγχίδας ἂν εἰπεῖν, Ἡρόδοτον δὲ μᾶλλον ἂν ἑτέρων φυλάξασθαι, ἀκριβῆ τε ὄντα περὶ τὰ ὀνόματα καὶ πάνυ ἐπιεικῶς φροντιστικόν. τοῦτο δὴ θεραπεύων τις οὐχ Ἡροδότου, φησὶν, ἁμάρτημα γεγονέναι, μᾶλλον δὲ τὸν συγγραφέα φησὶ διαμαρτεῖν παρεμβαλόντα τὸ σι . πολλὰ δὲ φέρεσθαι μέχρι νῦν ἁμαρτήματα κατὰ τὴν Ἡροδότου συγγραφὴν καὶ ἔτι τὴν Θουκυδίδου καὶ Φιλίστου καὶ τῶν ἄλλων ἀξιολόγων συγγραφέων. τί δ’ οὐχὶ καὶ τὰ ποιήματα σχεδὸν ἀνάπλεω πάντα τυγχάνει ἁμαρτημάτων γραφικῶν καὶ τῶν ἄλλων παραδιορθωμάτων πάνυ ἀγροίκων; καὶ ἵνα μὴ περαιτέρω τις προβαίνων ἐνοχλῇ διερευνώμενος τὰς ἐν τοῖς ἀντιγράφοις ἐμμεμενηκυίας ἡμαρτημένας γραφάς, ἔξεστί σοι σκοπεῖν καὶ τῶν Ὁμηρικῶν ταδί· ὅς τ ’ ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους λαοφόρον κα θ ’ ὁδόν (Ο 680. 82). ἐνταῦθα γὰρ πρὸς οὐδὲν ἀναγκαῖον ἐγράφη διὰ τοῦγ · νωθρὸν οὖν τὸ σημαινόμενον καὶ σφόδρα ὑπόκωφον προσπίπτειν ἔοικε. τὸ δὲ χωρὶς τοῦ γ γράφειν Ὁμηρικὸν παρὰ ** τῇ χρήσει καὶ τῷ λόγῳ πάντη συνᾷδον ἐπιεικῶς. τὸ γὰρ συναείρεται μᾶλλον προσεχῶς σημαίνει τὸ συνάγειν καὶ συναρμόζειν. καὶ ἐν ἄλλοις (Κ 499)· σὺν δ ’ ἤειρεν ἱμᾶσ ι, συνήγαγε τοὺς ἵππους. ὁ δὲ βέλτιστος Ἀριστοφάνης κἀκεῖνο τὸ ἐν τοῖς Παραποταμίοις λεγόμενον· θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖ χ ’ ὑπαλύξει ἰχθῦ ς , ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν (Φ 126. 27), δείκνυσιν ὡς ἡμαρτημένον ὑπολείποιτο ἐκ τῆς παλαιᾶς γραμματικῆς. οὐ γὰρ χρὴ τὸ ὅς κε φάγῃσιν ἀκούειν ὡς ἄρθρον ὑποτακτικόν, μᾶλλον δὲ ἀντ’ ἐπιρρήματος παρειλῆφθαι τοῦ ὧς, ἢ μᾶλλον σύνδεσμον αἰτιώδη.

288 δηλοῦται γάρ· ἵνα φάγῃ (σκοπῶμεν δὴ ὡς τὸ σύμπαν προσεχῶς συντέτακται κατὰ τὴν τούτου γνώμην), ἀκολούθως ὑποδύσεται τὸν ἀφρὸν ὁ ἰχθύς· καὶ τοῦτο ἀναγκασθήσεται πρᾶξαι καὶ ἐπιπολαίως ὑπονήξεται τοῦ ὕδατος ὑποδεδυκώς, ἐπεὶ καὶ τῶν ἀποθανόντων τὰ σώματα, ἕως ἂν ᾖ πρόσφατα καὶ διῳδηκότα, ἄνωθεν ἐπιπλεῖν εἴωθεν. ὅτι μὲν οὖν τῶν παλαιῶν βιβλίων ἐπὶ τὸ χεῖρον κινεῖται ἡ γραφή, φησὶν αὖθις διὰ πλειόνων ἐπιδείξειν. ἐπανάγωμεν δὲ ἐπὶ τὸν Ἡρόδοτον καὶ τὸν διορθωτὴν τὸν Κοτυαέα Ἀλέξανδρο ν. ἠξίου γὰρ ὁ ἀνὴρ γράφειν τὸ τῇσι Μιλησίων χωρὶς τοῦ ἰῶτα τῆς Μιλησίων, ὑποκειμένης ἔξωθεν χώρης ἢ γῆς. καὶ ἐγὼ δὲ, φησὶν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπειθόμην οὕτως ἔχειν τὰ τῆς γραφῆς, τὸν δὲ ἄνδρα τῆς ἀκριβοῦς συνέσεως ἐτεθαυμάκειν. ἐντυχὼν δὲ τοῖς Ἡροδοτείοις αὐτοῖς ἔπεσι, καὶ γενόμενος ἐπὶ τέλει τῆς Αἰγυπτιακῆς βίβλου, ἥτις ἐστὶ δευτέρα τῇ τάξει, εὑρίσκω πάλιν κατὰ τὴν αἰτιατικὴν πτῶσιν εἰπόντα τὸν Ἡρόδοτον· ἀνέθηκεν εἰς Βραγχίδας τὰς Μιλησίων (II 159). οὐκέτι οὖν ᾤμην ἁμάρτημα εἶναι γραφικόν, Ἰωνικὸν δὲ μᾶλλον ἰδίωμα. πολλὰ γὰρ οὗτοι τῶν ὀνομάτων χαίρουσι θηλυκῶς ἐκφέροντες, οἷον τήν τε λίθον καὶ τὴν κίονα καὶ ἔτι τὴν Μαραθῶνα· Κρατῖνος (I, p. 113 K.) εὐιπποτάτη Μαραθών, Νίκανδρος (fr. XXV) εὐκτιμένην Μαραθῶν α. ταῦτα μὲν οὖν ἃ ἡμεῖς εὕρομεν καὶ ἐκρίναμεν ὑγιῶς [ἔχειν]. τοιαῦτα δὴ τοῦ Φιλήμονος λέγοντος, ἃ μὲν πρὸς Ἀλέξανδρον περὶ τοῦ Ἡροδοτείου διορθώματος εἴρηκεν, οὐκ οἰκεῖον κρίνω τῇ παρούσῃ ὑποθέσει ἐξετάζειν. τὸ δὲ συναγείρεται πῶς ὑπόκωφόν φησιν εἶναι οὐκ ἔστι γνῶναι. τίς γὰρ οὐκ οἶδε τοὺς ἱππογνώμονας ἐκ πολλῶν ἵππων τοὺς ἐπιτηδειοτάτους ἀθροίζοντας; ὃ ἐκ τοῦ συναγείρεται δηλοῦται· ἀγείρειν γὰρ καὶ συναγείρειν ἐπὶ τοῦ συνάγειν λέγεται.

288col1 (27) τῷ δ’ Ἀριστοφάνει ὅπως συντέθειται τὰ κατὰ Λυκάονα καταμάθωμεν.

289col1 βούλεται τὸν ἰχθὺν ὡς καταφάγῃ τὸν τοῦ Λυκάονος δημὸν θρώσκειν κατὰ κῦμα καὶ ὑπαΐσσειν τὴν φρίκην· καί φησιν· ἐπιπολαίως ἐπινήξετα ι , τῷ ἀφρῷ τοῦ ὕδατος ὑποδεδυκώ ς , ἐπεὶ καὶ τῶν ἀποθανόντων τὰ σώματ α , ἕως ἂν ᾖ πρόσφατ α , ἄνωθεν ἐπιπλεῖν εἴωθ ε. πρῶτον μὲν οὖν οὐκ ἔστιν ἐπινοῆσαι νηχόμενον ἰχθὺν ὑπεράνω μὲν ὕδατος, ὑποκάτω δὲ ἀφροῦ τοῦ ὕδατος, οὐδὲ τούτων μεταξὺ νεκρὸν ἄνδρα φερόμενον. ἀλλ’ οὐδὲ τὴν φρίκην ἀκούειν δύναμαι τὸν ἀφρόν, Ὁμήρου μὲν μέλαιναν φρῖκα λέγοντος· τούτου δὲ ἀξιοῦντος λευκότητα ἀκούειν, ἐπί τε τοῦ Πρωτέως λέγει πάλιν Ὅμηρος μελαίνῃ φρικὶ καλυφθείς (δ 402), καὶ ἀλλαχοῦ τῆς φρικὸς μνημονεύσας ἐπάγει· μελάνει δέ τε πόντος ὑ π ’ αὐτῆς (Η 64). καὶ ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή. Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη· ἐς ἅλα στίζουσα πνοι ά.

290col1 τὸ δὲ λέγειν ὅτι τὰ πρόσφατα σώματα φέρεται τῶν κυμάτων ἐπιπολαίως, ψεῦδος. τοὐναντίον γὰρ ἐν ἀρχῇ μὲν διὰ στερρότητα καὶ πυκνότητα τοῦ σώματος ἰσχυρότερος ὢν τοῦ στηρίζοντος ὕδατος ὁ νεκρὸς διισταμένου καταδύεται, σχήματι καταβαίνων καὶ βάρει· πληρούμενος δὲ τῆς ὑγρότητος, πλείω τόπον ἐπιλαμβάνων τῷ σχήματι μετέωρος αἴρεται, βάρει τοῦ φέροντος ἐλαττούμενος. τίς οὖν ὁ νοῦς τῶν ἐπῶν; διττὴ γὰρ ἡ γραφή· ἐν οἷς μὲν γὰρ γράφει μέλαιναν φρῖ χ ’ ὑπαΐξει, ἐν οἷς δὲ γράφει μέλαιναν φρῖ χ ’ ὑπαλύξε ι. κἂν μὲν κατὰ τὴν ὑπαΐξει, φησὶν ὁ μὲν **** λέγειν αὐτόν· τῶν πηδώντων τις κατὰ τὸ κῦμα ἰχθύων ὑπὸ τὴν φρῖκα ἀίξει, τουτέστιν ἐκ τοῦ ἄνω θρώσκειν παυσάμενος ὑπὸ τὴν φρῖκα ὑποδύσεται καὶ ὁρμήσει κάτω, συγκαταφερόμενος τῷ νεκρῷ, ὡς φάγῃ τοῦ Λυκάονος τὸν δημόν. [τοῦτο μὲν οὖν, εἰ ἐπιπολῆς τοῦ κύματος θρώσκειν ὑπακούοιμεν· εἰ δ’ ἐκ βάθους ἀναπηδῶντα ἐπὶ τὸ κῦμα, ἔσται, ὡς ἐπὶ τοῦ λίθου εἶπεν ὕψι τ ’ ἀναθρώσκων πέτεται (Ν 140), ἵνα σημαίνῃ τὸ ἐκ τοῦ βυθοῦ κάτωθεν κατὰ τοῦ κύματος θορεῖν, μὴ μέντοι ὑπερθορεῖν τὴν φρῖκα, ἀλλ’ ὑπ’ αὐτὴν ὄντα ἅπτεσθαι τοῦ νεκροῦ, εἰ ἐπιπολαίως φέροιτο.

291col1 ] εἰ δ’ ὑπαλύξει γράφοιτο, φησὶ Πολύκλειτος τὸν νοῦν τοιοῦτον ἔσεσθαι· καταδύσεται μὲν εἰς τὸ βάθος τοῦ κύματος ὁ ἰχθὺς φεύγων τῆς φρίκης τὴν ψυχρότητα· καὶ γὰρ αὐτῷ πολεμιώτατον· τοῦ γοῦν χειμῶνος ἐκ τοῦ πελάγους εἰς τὴν γῆν καταίρουσι· πολλοὺς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ βάθους διὰ τὴν αὐτὴν αἰτίαν ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῷ ζ′ περὶ ζώων φύσεως (fr. 333)· ψυχροτάτη δ’ ἡ φρίκη, καὶ μάλιστα ἂν βόρειος ᾖ. γενόμενος δ’ ἐν τῷ βάθει τοῦ Λυκάονος ἔδεται τὸ λίπος. οὐ δοκεῖ δέ μοι οὗτος ὀρθῶς τὸν νοῦν τῶν ἐπῶν ἀποδοῦναι. οὐ γὰρ εὐθὺς αὐτόν φησιν Ὅμηρος σφαγέντα καὶ ῥιφέντα τοῦτο παθεῖν, ἵν’ ἐκδεχώμεθα ὅτι κάτω ἐνεχθέντος ὁ ἰχθὺς κάτω χωρεῖν λέγεται εἰς τὰ βάθη τοῦ κύματος ἐπὶ τὴν βρῶσιν, ἀλλ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξενεχθῆναι ὑπὸ τοῦ Σκαμάνδρου ἐπὶ τὴν θάλασσαν, ὥστε οὐκέτι αὐτὸν ὑποβρύχιον, ἄνω δ' ἐπιπλεῖν ἀνάγκη.

292col1 ἔχει γὰρ οὕτω τὰ ἔπη· ἐνταυθοῖ νῦν κεῖσο με τ ' ἰχθύσι ν , οἵ ς ' ὠτειλῆς αἷ μ ' ἀπολιχμάσονται ἀκηδέες · οὐδέ σε μήτηρ ἐνθεμένη λεχέεσσι γοήσετα ι , ἀλλὰ Σκάμανδρος οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον, οἷς ἐπάγει· θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖ χ ' ὑπαΐξει ἰχθύ ς , ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν (Φ 122—27). νεοσφαγῆ μὲν οὖν ὄντα φησὶ κεῖσο με τ ' ἰχθύσιν, ὡς ἂν κάτω ἀπενεχθέντα, ὅπου φησὶ τῆς ὠτειλῆς αὐτοῦ τὸ αἷμα ἀπολιχμάσεσθαι τοὺς ἰχθῦς· χρονίζοντα δὲ ἄταφον ἐκβληθῆναι εἰς τὴν θάλασσαν ὑπὸ τῶν ποταμῶν, ὅτε καὶ ἀναπλεῦσαι ἀνάγκη, καὶ θρώσκοντα οὐχ ὑπὲρ τὸ κῦμα ἰχθὺν ἀλλὰ κατὰ τὸ κῦμα ( κατὰ κῦμα γὰρ ἔφη, οὐχ ὑπὲρ κῦμα) ὑπὸ τὴν φρῖκα ἀίξαι. τὸ γὰρ μέτρον τῆς εἰς τὰ ἄνω ὁρμῆς τοῦ ἰχθύος δηλῶν ἀφορίζει ἄχρι τῆς φρικός. οὐ γὰρ ἂν ἐπέθρωσκε κατὰ κῦμα, ἀλλ' ὑπὲρ κῦμα, εἰ καὶ τὴν φρῖκα ὑπερεπήδα. ἐκφερομένου οὖν ὑπὸ τῶν ἐκβολῶν τοῦ ποταμοῦ πηδῆσαι κατὰ τὸ κῦμά φησι τὸν ἰχθὺν καὶ γενέσθαι ἄνω ὑπὸ τὴν φρῖκα, ἔνθα ἐντεύξεται τῷ νεκρῷ.

293col1 οὕτως ἐξηγήσαντο καὶ οἱ Ἀριστάρχειοι λέγοντες· ὑπὸ τὴν φρῖκα ἀίξει τις τῶν ἰχθύων κατὰ τὸ κῦμα κολυμβῶν, ὃς φάγοι ἂν τὸν τοῦ Λυκάονος δημόν. πάντως γὰρ ἔδει τὸν μέλλοντα τοῦ ὑπερφερομένου νεκροῦ ἅπτεσθαι ἰχθὺν ἄνω μετέωρον ὑπὸ τὴν φρῖκα ἐλθεῖν. Φιλητᾶς δὲ τῇ ὑπαλύξει γραφῇ συντιθέμενός φησιν, ὅτι ὁ φαγὼν ἰχθὺς τοῦ Λυκάονος τὸν δημὸν πιμελώδης γενόμενος τὸ κρύος φεύξεται. ἀγνοεῖ δὲ καὶ οὗτος, ὅτι τὸ διανεστηκὸς τῆς θαλάσσης ἐπιπολῆς, οὐ τὸ κρύος φησὶν Ὅμηρος φρῖκα· ὡς δ ' ὅ θ ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθύς (Ψ 692), τῆς ἐπιτρεχούσης κατὰ τὴν θάλασσαν πρὸ τῆς τοῦ ἀνέμου ἐμβολῆς.

294col1 καὶ ἐπὶ τοῦ συὸς κατὰ μεταφοράν· φρίξας εὖ λοφιήν (τ 446). καὶ ἔφριξε δὲ μάχη φθισίμβροτος (Ν 339). * B f.

288col2 (29) 282 a ad ὅς κε φάγῃ Φ 127 (id. L f. 439 a ): ὁ μὲν οὖν Ἀριστοφάνης βούλεται τὸν ἰχθύν, ὥστε καταφαγεῖν τὸν Λυκάονος δημόν [ἢ διαφαγόντα], θρώσκειν κατὰ κῦμα καὶ ὑπαΐσσειν τὴν φρῖκα· καί φησιν· ἐπιπολῆς ἐπινήξετα ι , τῷ ἀφρῷ τοῦ ὕδατος ὑποδεδυκώ ς , ἐπειδὴ καὶ τῶν ἀποθανόντων τὰ σώματ α , ἕως ἂν εἴη πρόσφατ α , ἄνωθεν ἐπιπλεῖν εἴωθ ε.

289col2 πρῶτον μὲν οὖν οὐκ ἔστιν ἐπινοῆσαι νηχόμενον ἰχθὺν ὑπεράνω μὲν ὕδατος, ὑποκάτω δὲ ἀφροῦ τοῦ ὕδατος, οὐδὲ τούτων μεταξὺ νεκρὸν ἄνδρα φερόμενον. ἀλλ' οὐδὲ τὴν φρῖκα ἀκούειν δύναμαι τὸν ἀφρόν, Ὁμήρου μὲν μέλαιναν φρῖκα λέγοντος· τούτου δὲ ἀξιοῦντος λευκότατον ἀκούειν, ἐπί τε τοῦ Πρωτέως λέγει πάλιν Ὅμηρος μελαίνῃ φρικὶ καλυφθείς, καὶ ἀλλαχοῦ· ὡς δ ' ὅ θ ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς θινὶ ἐπὶ φυκόεντι μέλαν τέ ἑ κῦ μ ' ἐκάλυψε (Ψ 692. 93), καὶ ἀλλαχοῦ τῆς φρικὸς μνημονεύσας ἐπάγει· μελανεῖ δέ τε πόντος ὑ π ' αὐτῇ ς. καὶ ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή. Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη· ἐς ἅλα στίζουσα πνοι ά.

290col2 τὸ δὲ λέγειν ὅτι τὰ πρόσφατα σώματα φέρεται τῶν κυμάτων ἐπιπολῆς, ψεῦδος· τοὐναντίον ἐν ἀρχῇ μὲν γὰρ διὰ στερρότητα καὶ πυκνότητα τοῦ σώματος ἰσχυρότερος ὢν τοῦ στηρίζοντος ὕδατος ὁ νεκρὸς διισταμένου καταδύεται, σχήματι καταβαίνων καὶ βάρει· πληρούμενος δὲ τῆς ὑγρότητος, πλείω τόπον ἐπιλαμβάνων τῷ σχήματι μετέωρος αἴρεται, βάρει τοῦ φέροντος ἐλαττούμενος. τίς οὖν ὁ νοῦς τῶν ἐπῶν; διττὴ γὰρ ἡ γραφή· ἐν οἷς μὲν γὰρ γράφεται μέλαιναν φρῖ χ ' ὑπαΐξει, ἐν οἷς δὲ γράφεται μέλαιναν φρῖ χ ' ὑπαλύξε ι. κἂν κρατήσῃ τὸ ὑπαΐξει, φησὶν ὁ μὲν **** λέγειν αὐτόν· τῶν πηδώντων τις κατὰ τὸ κῦμα ἰχθύων ὑπὸ τὴν φρῖκα ἀίξει, τουτέστιν ἐκ τοῦ ἄνωθεν θρώσκειν παυσάμενος ὑπὸ τὴν φρῖκα ὑποδύεται καὶ ὁρμήσει κάτω, συγκαταφερόμενος τῷ νεκρῷ, ὡς φάγοι ἂν τοῦ Λυκάονος τὸν δημόν. [τοῦτο μὲν οὖν, εἰ ἐπιπολῆς τοῦ ὕδατος θρώσκειν ὑπακούομεν· εἰ δ' ἐκ βάθους ἀναπηδῶντα ἐπὶ τὸ κῦμα, ἔσται, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τοῦ λίθου εἴρηκεν ὕψι τ ’ ἀναθρώσκων πέτεται, ἐπὶ τοῦ ἰχθύος τὸ ὑψοῦ τὸ ἐκ βυθοῦ κάτωθεν κατὰ κύματος θορεῖν, μὴ μέντοι ὑπερθορεῖν τὴν φρῖκα, ἀλλ’ ὑπ’ αὐτὴν ὄντα ἅπτεσθαι τοῦ νεκροῦ, εἰ ἐπιπολῆς φέροιτο.

291col2 ] εἰ δ’ ὑπαλύξει γράφοιτο, φησὶ Πολύκλειτος τὸν νοῦν ἔσεσθαι· καταδύσεται μὲν εἰς τὸ βάθος τοῦ κύματος ὁ ἰχθύς, φεύγων τῆς φρικὸς τὴν ψυχρότητα. καὶ γὰρ αὐτῷ πολεμιωτάτη· τοῦ γοῦν χειμῶνος ἐκ τοῦ πελάγους εἰς τὴν γῆν καταίρουσιν οἱ ἰχθύες· πολλοὺς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ τοῦ βάθους διὰ τὴν αὐτὴν αἰτίαν· ἱστορεῖ γὰρ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ περὶ ζώων φύσεως. ψυχροτάτη δ’ ἡ φρίκη, καὶ μάλιστα ἂν βόρειος ᾖ. γενόμενος δὲ ἐν τῷ βάθει ἔδεται τὸ λίπος τοῦ Λυκάονος. οὐδέ τις δέ μοι τούτων δοκεῖ ὀρθῶς ἀποδεδωκέναι τὸν νοῦν τῶν ἐπῶν. οὐ γὰρ εὐθύς φησιν Ὅμηρος αὐτὸν σφαγέντα καὶ ῥιφθέντα τοῦτο παθεῖν, ἵνα ἐκδεχώμεθα ὅτι κάτω ἐνεχθέντος ὁ ἰχθὺς κάτω χωρεῖν λέγοιτο εἰς τὰ βάθη τοῦ κύματος ἐπὶ τὴν βρῶσιν, ἀλλ’ ἐξενεχθέντα ὑπὸ τοῦ Σκαμάνδρου ἐπὶ τὴν θάλασσαν, ὥστε οὐκέτι ὑποβρύχιον, ἄνωθεν δὲ αὐτὸν ἐπιπλεῖν ἀνάγκη.

292col2 ἔχει γὰρ οὕτω τὰ ἔπη· ἐνταυθοῖ νῦν κεῖσο με τ ’ ἰχθύσι ν , οἵ ς ’ ὠτειλῆς αἷ μ ’ ἀπολιχμήσονται ἀκηδέε ς , οὐδέ σε μήτηρ ἐνθεμένη λεχέεσσι γοήσετα ι , ἀλλὰ Σκάμανδρος οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον · θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖ χ ’ ὑπαΐξει ἰχθύ ς , ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημό ν. νεοσφαγῆ μὲν οὖν ὄντα φησὶ κεῖσθαι μετ’ ἰχθύσιν, ὡς ἂν κάτω ἀπενεχθέντα, ὅπου φησὶ τῆς ὠτειλῆς αὐτὸν αἷμα ἀπολιχμήσεσθαι τοὺς ἰχθύας· χρονίζοντα δὲ ἄταφον ἐκβληθῆναι εἰς θάλασσαν ὑπὸ τοῦ ποταμοῦ, ὅτε καὶ ἀναπλεῦσαι ἀνάγκη, καὶ θρώσκοντα οὐχ ὑπὲρ τὸ κῦμα ἰχθὺν ἀλλὰ κατὰ κῦμα ( κατὰ κῦμα γὰρ ἔφη, οὐχ ὑπὲρ κῦμα) σφαγῆ μὲν οὖν ὄντα φησὶ κεῖσθαι τῆς εἰς τὰ ἄνω ὁρμῆς τοῦ ἰχθύος δηλῶν ἀφορίζει· ἀλλ’ ἄχρι τῆς φρικός· οὐ γὰρ ἂν ἐπέθρωσκε κατὰ κῦμα, ἀλλ’ ὑπὲρ τὸ κῦμα, εἰ καὶ τὴν φρῖκα ὑπερεπήδα. ἐκφερομένου οὖν ὑπὸ τῶν ἐκβολῶν τοῦ ποταμοῦ πηδῆσαι κατὰ τὸ κῦμά φησι τὸν ἰχθύν, καὶ γενέσθαι ἄνω ὑπὸ τὴν φρῖκα, ἔνθα ἐντεύξεται τῷ νεκρῷ.

293col2 οὕτως ἐξηγήσαντο καὶ οἱ Ἀριστάρχειοι, λέγοντες· ὑπὸ τὴν φρῖκα ἀίξει τις τῶν ἰχθύων κατὰ τὸ κῦμα κολυμβῶν, ὃς φάγοι ἂν τὸν Λυκάονος δημόν· πάντως γὰρ ἔδει τὸν μέλλοντα τοῦ ὑπερφερομένου νεκροῦ ἅπτεσθαι ἰχθὺν ἄνω μετέωρον ὑπὸ τὴν φρῖκα ἐλθεῖν. Φιλητᾶς δὲ τῇ ὑπαλύξει γραφῇ συντιθέμενός φησιν, ὅτι ὁ φαγὼν ἰχθὺς τὸν Λυκάονος δημόν, πιμελώδης γενόμενος, τὸ κρύος ἐκφεύξεται. ἀγνοεῖ δὲ καὶ τοῦτο, ὅτι τὸ διανεστηκὸς τῆς θαλάσσης ἐπιπολῆς, οὐ τὸ κρύος φησὶν Ὅμηρος φρῖκα· ὡς δ ’ ὅ θ ’ ὑπὸ φρικὸς Βορέου ἀναπάλλεται ἰχθύς, τῆς ἐπιτρεχούσης κατὰ τὴν θάλασσαν πρὸ τῆς τοῦ ἀνέμου ἐμβολῆς· καὶ ἐπὶ τοῦ συὸς κατὰ μεταφοράν· φρίξας εὖ λοφιή ν· καὶ ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσι ν.

294 (11n) θ′. ( Transiit in scho l. * B f. 175 b ad ἄμερδεν N 340.) Ἠξίουν ἡμᾶς παρατηροῦντας τὴν τοῦ ποιητοῦ ἐν πᾶσι λεπτουργίαν ἰχνεύειν καὶ τὴν ἐν τοῖς ὀνόμασιν αὐτοῦ πρὸς αὐτὸν ὁμολογίαν. φωτὸς γὰρ ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν ὄντος συμμέτρου δι’ οὗ ὁρῶμεν τὰ πεφωτισμένα, τὴν τυφλότητα ὁτὲ μέν φησιν ὀφθαλμοῦ ἀλάωσεν (α 69. ι 516), ἀφῃρῆσθαι τὸ λεύσσειν παριστάς, ὁτὲ δὲ ὀφθαλμῶν μὲν ἄμερσε (θ 64), τὸ τοῦ μαίρειν ἐστερημένον λέγων σκοτεινόν· καὶ τὸ τοῦ μαίρειν ἐστερημένον εἴδωλον ἀμαυρόν ἔφη (δ 824)· φωτὸς γὰρ παρουσίᾳ καὶ ὀφθαλμὸς ὁρῶν τὰ ὁρώμενα φαίνεται. διττῆς οὖν ὀφθαλμῶν οὔσης καὶ κατὰ Πλάτωνα (resp. VII. p. 518 A) ἐπιταράξεως—ἢ γὰρ διὰ σκότος ἢ δι’ ὑπερβολὴν τοῦ συμμέτρου φωτός—, τὸ μὲν διὰ σκότος μὴ μαίρειν ἢ μαρμαίρειν ἀμέρδειν εἶπε καὶ ἀμαυρόν, τὸ δὲ διὰ στιλβηδόνα, ἐπὶ τοῦ χαλκοῦ· ὄσσε δ ’ ἄμερδεν αὐγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν (N 340. 41). ὅθεν καὶ ἐπίθετα χαλκοῦ ἐφιλοτέχνησε, τὸ νώροπα χαλκόν (B 578) καὶ ἤνοπι χαλκῷ (Π 408), σημαίνων τὸν μὴ ἐῶντα τοὺς ὦπας ὁρᾶν διὰ τὴν προσοῦσαν στιλβηδόνα.

295

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ δὲ τὸ μέρδειν τὸ μαίρειν ἐστὶ καὶ τὸ μὴ μέρδειν ποιοῦν ἀμέρδειν, τὸ ἄγαν μέρδον σμερδαλέον ἂν εἴη, τῆς ζα ἐγκειμένης ὡς ἐν τῷ ζαχρειής. ὅταν οὖν ἐπὶ τοῦ δράκοντος λέγῃ σμερδαλέον δὲ δέδορκε (Χ 95), τὸ ἄγαν στίλβον τῶν ὀφθαλμῶν ἀκουσόμεθα· καὶ γὰρ δράκων παρὰ τὸ δράκω εἴρηται. καὶ τὸ σμερδαλέω δὲ λέοντε (Π 579) ἐπὶ τῆς ἐκφοβούσης αὐτῶν ἐνοράσεως ἐκδεξόμεθα· καὶ γὰρ ὁ λέων παρὰ τὸ λεύσσειν ὠνόμασται. αὐτὸς γὰρ ἡρμήνευσε τί τὸ σμερδαλέον, ἐπ’ αὐτῷ εἰπὼν γλαυκιόων (Υ 172). καὶ ἡ ἀσπὶς δὲ τῆς Ἀθηνᾶς διὰ τὴν μαρμαρυγὴν δεινή τε σμερδνή τε (Ε 742)· δεινὸν γὰρ καὶ φοβερὸν καὶ τὸ ἄγαν λαμπρὸν καὶ στίλβον, ὡς ἐπὶ τῆς Ἀθηνᾶς τῆς γλαυκώπιδος ἔφη· δεινὼ δέ οἱ ὄσσε φάανθεν (Α 200), ὅπερ ἐπ’ ἄλλων ἔφη ὄμματα μαρμαίροντα (Γ 397). γλαυκιόωντες δὲ λέοντες καὶ Ἀθηνᾶ γλαυκῶπις ἀπὸ τοῦ γάλακτος, ὅ ἐστιν ἄσκιον καὶ διὰ τοῦτο λευκόν, ὑπ’ αὐτοῦ εἴρηται· μέλαινα γὰρ ἡ σκιά, οἷον σκιόωντό τε πᾶσαι ἀγυιαί (β 388), ἤτοι ἡλίου δύντος συνεσκοτοῦντο· ὀξὺ δὲ τὸ λευκόν, ὡς τὸ μέλαν ἀμβλύ· ἡ οὖν ὀξὺ γλαυκῶπις. ἀπὸ δὲ τοῦ γάλακτος καὶ τῆς στιλβηδόνος γλαυκὴ καὶ ἡ θάλασσα εἴρηται (Π 34), καὶ ἡ τοῦ ὀφθαλμοῦ κόρη γλήνη (Ξ 494. ι 390), καὶ τρίγληνα ἐλλόβια (Ξ 183. ς 298), ἀπὸ τοῦ ἐν λευκότητι ἀποστίλβειν· καὶ ὃς γλήνεα πολλὰ κεχάνδει (Ω 192), τὰ μὴ ἐρρυπωμένα ἱμάτια ἀλλὰ στιλπνὰ διὰ καθαρότητα. καὶ ζοφουμένης μὲν τῆς θαλάσσης μελάνει δέ τε πόντος (Η 64) λέγει, ἀταράχου δὲ οὔσης καὶ διειδοῦς λευκὴ δ ’ ἦν ἀμφὶ γαλήνη (Κ 94)· καὶ γὰρ ἡ γαλήνη ἀπὸ τοῦ γάλακτος εἴρηται.

296 καὶ ἐπεὶ τὸ μέλαν σκυθρωπόν, τὸ δὲ λευκὸν ἀντίκειται τῷ μέλανι, ἱλαρὸν ἂν εἴη· γέλως δ’ ἡ ἱλαρότης· γέλασε δὲ πᾶσα περὶ χθὼν φησὶ χαλκοῦ ὑπὸ στεροπῆς (Τ 362) [ἤτοι λαμπρυνθεῖσα φαιδρὰ γέγονεν. οὕτω νόει καὶ τὸ κόρυθες καὶ θώρακες λαμπρὸν γανόωντες (Ν 265)], ἀπὸ τῆς γῆς τῆς λαμπούσης καὶ διὰ τῆς στιλβηδόνος φαιδρυνομένης. καὶ ὁ γαίων δὲ τῷ κύδεϊ (Α 405), ὁ διαχεόμενος καὶ λαμπρυνόμενος διὰ τὴν δόξαν. ἐπεὶ δὲ φῶς ἐστιν ἐν τοῖς ὀφθαλμοῖς, ὅταν μὲν ἥμερον βλέπωσι, φάεα αὐτὰ καλεῖ· κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά (π 15), ἀπὸ τοῦ ἐν αὐτοῖς φωτός· ὅταν γὰρ ἀποθάνῃ· κατὰ δ ’ ὄσ ς ’ ἐρεβεννὴ νὺξ ἐκάλυψεν (Ε 659 ?)· ὅταν δὲ ἐξαγριωθῶσιν ὑπ’ ὀργῆς καὶ ἐκκαυθῶσιν, ἔτι μὲν ἀρχομένης τῆς ὀργῆς· πυρὶ λαμπετόωντι ἐίκτην (Α 104), κρατησάσης δέ· πῦρ ὀφθαλμοῖσι δεδορκώς (τ 446)· καὶ γὰρ τὸ φῶς ἀπὸ πυρός. καὶ τὸ ὕφαιμον δ’ ὁρᾶν διὰ τὸ πυρὶ ἐοικέναι τὸ αἷμα σμερδαλέον εἴρηται· σμερδαλέος δ ’ αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ (ζ 137), ἤγουν ὕφαιμον βλέπων διὰ τὸ πυρωτοὺς ἔχειν τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἁλός. καὶ ἐπὶ τοῦ πυρὸς δίκην μαινομένου εἰπὼν μαίνετο δ ’ ὡς ὅ τ ’ Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ (ρ 605) ἐπάγει· τὼ δέ οἱ ὄσσε λαμπέσθη ν. λοιπὸν δὲ κατὰ μεταφορὰν σμερδαλέα μὲν τὰ οἰκήματα τοῦ Ἅιδου ἔφη (Υ 65), ἀπὸ τοῦ ὕφαιμα εἶναι καὶ φόνων πλήρη, ἐπὶ τὴν ὄψιν ἀναφέρων.

297 ἐπὶ φωνῆς δὲ λαμπρᾶς καὶ διαφανοῦς· σμερδαλέον κονάβησαν (Β 334) καὶ σμερδνὸν βοόων (Ο 687)· καὶ ἐπ’ ὀρχήσεως συντόνου μεταφέρων μαρμαρυγὰς ἔφη θηεῖτο ποδῶν (η 265), τὰς ἐν τῇ κινήσει στιλβηδόνας, ἃς ποιεῖ καὶ τὸ πῦρ κινούμενον. καὶ οὐχὶ φιλόσοφοι πρῶτοι τὸ λευκὸν ἀφωρίσαντο τὸ διακριτικὸν ὄψεως, ἀλλὰ πρὸ αὐτῶν Ὅμηρος, μαρμαίρειν λέγων τὸ λάμπειν, ὅ ἐστι μερίζειν καὶ διαιρεῖν, ἀφ’ οὗ τὸ διακρίνειν· ὅθεν τὸ μὴ μερίζον ἀλλὰ σκοτεινὸν ἀμαυρό ν. καὶ ὅτι παρὰ τὸ μερίζειν καὶ διακρίνειν καὶ διαιρεῖν κέκληκε τὸ φωτίζειν μαρμαίρειν, δηλοῖ τὸ φῶς δάος καλέσας· δάος μετὰ χερσὶν ἔχουσαι (Ω 647), ἀφ’ οὗ αἱ δεκτικαὶ τοῦ φωτὸς δᾷδες καὶ δαΐδες. ι′. Editum Φ 362 sqq. ια′. ιβ′. ( Transierunt in scho l. * B f. 85 b ad καππεδίον τὸ ἀλήιον Ζ 201.) Ἀξιῶν δὲ ἐγὼ Ὅμηρον ἐξ Ὁμήρου σαφηνίζειν αὐτὸν ἐξηγούμενον ἑαυτὸν ὑπεδείκνυον, ποτὲ μὲν παρακειμένως, ἄλλοτε δ’ ἐν ἄλλοις. τῇ τε γὰρ εἰροκόμῳ παράκειται συνεζευγμένη ἡ ἐξήγησις· γρηῒ δέ μιν εἰκυῖα παλαιγενέι προσέειπεν εἰροκόμῳ (Γ 386). τίς οὖν ἡ εἰροκόμος; ἥ ο ἱ, φησὶν, ἤσκειν εἴρια καλ ά· ἡ γὰρ ἀσκοῦσα τὰ ἔρια εἴη ἂν εἰροκόμος· ἀσκεῖν δὲ τὸ καλλωπίζειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς τὸ χρυσὸν κέρασι περιχεύει ἀσκήσα ς , ἵ ν ' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα (γ 437). καὶ πάλιν ἄλλους τ ' αἰδέσθητε περικτίονας ἀνθρώπου ς.

298 τίνες οὖν οἱ περικτίονες; οἳ περιναιετάουσι (β 65. 66). βοῦν ἦνιν εὐρυμέτωπον ἀδμήτην (Κ 292). ἆρ' οὖν τὸ ἀδμήτην ἄγαμον δηλοῖ; οὐχί, ἀλλὰ τὴν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνή ρ. καὶ πάλιν ἔν θ ' οἵ γ ' οὐκέτι πάμπαν ἀφέστασα ν , ἦρχε γὰρ Ἄρης (Φ 391). τί οὖν τὸ ἦρχε; πρῶτος Ἀθηναίῃ ἐπόρουσε ν. ἐπὶ δὲ τῆς Πηλιάδος μελίης καὶ φιλοτιμουμένῳ ἔοικε πολλαχόθεν τὴν κλῆσιν προσοῦσαν δεικνύναι· ἢ γὰρ ἀπὸ τοῦ μόνον αὐτὴν ἐπίστασθαι πῆλαι τὸν Ἀχιλλέα· ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς (Π 142), ἢ ἀπὸ τοῦ Πηλέως τοῦ πατρός· τὴν πατρὶ φίλῳ τάμε Χείρων (ib. 143), ἢ ἀπὸ Πηλίου τοῦ ὄρους ὅθεν ἐτμήθη· πατρὶ φίλῳ τάμε Χείρων Πηλίου ἐκ κορυφῆ ς. ἀλλ' ἐπεὶ μελίη τὸ δόρυ ἀπὸ τοῦ δένδρου τῆς μελίας, δῆλον ὡς καὶ τὸ μείλινον ἔγχος (Ε 655) ἐκ μελίας τοῦ δένδρου, οὐ μὴν, ὡς οἱ πολλοὶ, τὸ μακρόν. καὶ ἔγχεα ὀξυόεντα (Ε 568) τὰ ἐξ ὀξύης τοῦ δένδρου, ὡς καὶ Ἀρχίλοχος (fr. 125 B.)· ὀξύη ποτᾶτο, ἀλλ' οὐ τὰ ὀξέα, ὡς οἱ γραμματικοὶ ἀποδεδώκασιν. πάλιν ἔφη· ἤτοι ὁ καππεδίον τὸ ἀλήιον (Ζ 201). διὰ τί οὖν ἀλήιον; ἆρά γε τὸ ἄσπορον καὶ μὴ ἔχον λήια; οὐχί. ἀλλ' ἐκ τοῦ οἷον αὐτὸν ἐν αὐτῷ ἀλᾶσθαι. καὶ τί οὖν τὸ οἷον ἀλᾶσθαι; ἐξηγεῖται· πάτον ἀνθρώπων ἀλεείνω ν. ἐν δὲ τῷ καὶ μέν οἱ Λύκιοι τέμενος τάμον (Ζ 194) ταχέως δεδήλωκεν ὅτι ἀπὸ τοῦ τετμῆσθαι καὶ ἀφωρίσθαι τὸ τέμενος λέγεται· τέμενος τάμο ν.

299 οὕτω καὶ κειμήλια ἔφη κεῖσθαι (Ζ 47)· ἀπὸ γὰρ τοῦ κεῖσθαι κειμήλια λέγεται. πάλιν πτωχὸν ἔφη πανδήμιον (ς 1). τίς οὖν οὗτος; ὃς κατὰ ἄστυ πτωχεύεσ κ ' Ἰθάκης, ἀλλ' οὐχ ὡς Ὀδυσσεὺς ἐν μιᾷ οἰκίᾳ. πάλιν· μετέπρεπε γαστέρι μάργῃ (ς 2). τίς οὖν αὕτη ἡ γαστριμαργία; ἧς ὥσπερ ὅρον ποιούμενος ἐπάγει· ἀζηχὲς φαγέμεν καὶ πιέμεν, τὸ ἀδιαλείπτως ἐσθίειν καὶ πίνειν μεταλαβὼν εἰς τὸ ἀζηχές, ὃ ἐν ἄλλοις ἔφη συνεχὲς αἰεί (ι 74). καὶ ἐπὶ ἄλλου μὲν ἐν πᾶσι διαπρέποντος ἔφη ὁ δ' ἔπρεπε καὶ διὰ πάντων (Μ 104), ἐπὶ δὲ τοῦ Ἴρου μετὰ δ ' ἔπρεπε γαστέρι μάργ ῃ, ἤτοι μόνῃ γαστριμαργίᾳ. πόθεν οὖν Ἶρος ἐκλήθη; οὕνε κ ' ἐπαγγέλλεσκε κιὼν ὅτε πού τις ἀνώγοι (ς 7). καὶ πάλιν· οὐκ ἀίεις ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοί (ς 11); τί οὖν τὸ ἐπιλλίζειν; τὸ διανεύειν— ἑλκέμεναι δὲ κέλονται —, ἀπὸ τοῦ τοὺς διανεύοντας συστρέφειν τοὺς ὀφθαλμούς· ἰλλάδες (Ν 572) γὰρ οἱ συνεστραμμένοι ἱμάντες, ὡς ἀλλαχοῦ ἔφη· ἐν δὲ στρόφος ἦεν ἀορτήρ (ν 438). τὸν μὲν ἄκουρον ἐόντα βά λ ' ἀργυρότοξος Ἀπόλλων (η 64). τίς οὖν ὁ ἄκουρος; μίαν οἴην παῖδα λιπόντ α. ὡσαύτως καὶ τὸ κύμβαχος ἐξηγεῖται ἐπάγων ἐπὶ βρεχμόν τε καὶ ὤμους δηθὰ μά λ ' εἱστήκει (Ε 586).

300 γυῖα δ' ἐξηγεῖται· πόδας καὶ χεῖρας ὕπερθεν (Ε 122)· καὶ ἀμφιγυήεις οὖν ὁ περὶ τὰ γυῖα βεβλαμμένος, ὃν καὶ κυλλοποδίονα εἶπε. καὶ τὸ γυιώσω μὲν σφῶιν ὑ φ ' ἅρμασιν ὠκέας ἵππους (Θ 402), ἤτοι σκελεαγεῖς ποιήσω· ἐπάγει γὰρ κατὰ δ ' ἅρματα ἄξ ω. φιλοτιμεῖται καὶ τὸ λυκόφως ἐξηγήσασθαι· ἦμος δ ' οὔ τ ' ἄρ πω ἠώ ς , ἔτι δ ' ἀμφιλύκη νύξ (Η 433)· οὐ γὰρ εἰ μηδέπω ἠώς, ἔτι ἦν νύξ, ἀλλ' ἡ ἀμφιλύκη ἦν, ὁ βαθὺς ὄρθρος. ἠῶ δὲ λέγει νῦν τὸν ὄρθρον καὶ τὸ πρὸ ἀνατολῆς ἡλίου πεφωτισμένον διάστημα· ὅτι γὰρ καὶ τοῦτο τὸ διάστημα λέγει ἠῶ, δηλοῖ ἐπὶ τῆς νεὼς τοῦ Τηλεμάχου.

301 εἰπών· παννυχίη μὲν ἄ ρ ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθον (β 434), εἶτα εἰπὼν ἠέλιος δ ' ἀνόρουσε (γ 1). καὶ ἡμεῖς δὲ τὸ πρὸ ἡλίου ἐξ ἑωθινοῦ φαμεν καὶ ἕωθεν, ὃ ὁ ποιητὴς ἠῶθεν δ ' ἀγορήνδε (α 372) φησίν. ἕως οὖν καὶ ἠώς τὸ πρὸ ἀνατολῆς ἡλίου· τὸ δὲ πρὸ τῆς ἕω λυκόφως καὶ νὺξ ἀμφιλύκ η. λέγει μέντοι καὶ τὸ ἀπὸ ἀνατολῆς ἡλίου ἄχρι μεσημβρίας διάστημα ἠῶ· ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ (Φ 111) καὶ ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ (Θ 66) καὶ εὗδον παννύχιοι καὶ ἐ π ' ἠῶ καὶ μέσον ἦμαρ (η 288). λέγει ἠῶ καὶ ὅλην τὴν ἡμέραν· ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος (τ 571), ἥδε δέ μοι νῦν ἠὼς ἑνδεκάτη (Φ 155), περὶ οὗ φησιν ἕνδεκα δ ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν (ib. 45). Ἠὼς δὲ καὶ ἡ θεός· ὣς μὲν ὅ τ ' Ὠρίω ν ' ἕλετο ῥοδοδάκτυλος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἠώς (ε 121). πάλιν ἑαυτὸν ἐξηγεῖται παρακειμένως δι’ ὧν φησιν Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός (ς 75). τί οὖν τὸ κακῶς ὀρίνεσθαι τὸν θυμόν; ἐπάγει δειδιότ α. τί οὖν παρακολούθημα δέους; σάρκες δὲ περιτρομέοντο μέλεσσι ν· ὁ δὲ δειλὸς κακός, ἀφ’ οὗ τὸ κακῶ ς.

302 πάλιν τὸ δεδιέναι, ὃ πάθος ἐν τῇ ψυχῇ γίνεται, καὶ τὸ τρέμειν, ὃ ἐν τῷ σώματι, ἐπιτέμνων ἔφη· εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς (ib. 80). ἐπιμένων δὲ τῇ ψυχρᾷ φύσει τοῦ φόβου, κρυόεντα καλεῖ τὸν φόβον· φόβου κρυόεντος ἑταίρη (Ι 2), καὶ ἐν ἄλλοις· ψυχρὸν δέος εἷλε καὶ ῥίγησε δ ’ ὁ γέρων (Γ 259), ἐφοβήθη. εἰ δ’ ὁ δῆλον ὡς τὸ θάρσος θάλπει· εἰκότως ἄρα θαλπωρὴν (Κ 223) λέγει τὸ θάρσος. ἐκ δὴ τούτων παρακειμένας ἐχόντων τὰς ἐξηγήσεις δεῖ παρατηρεῖσθαι καὶ τὰ ἐν διαφόροις ἐπὶ τῆς αὐτῆς διανοίας παραλαμβανόμενα εἰς ἐξήγησιν τῶν ἀσαφεστέρων. ιγ′. ιδ′. (ιγ′ transiit in scho l. * B f. 65 b ad τηλυγέτω Ε 153 et L f. 184 b ad Ι 143). Ὅτι μὲν ὁ τηλύγετος δηλοῖ παρ’ αὐτῷ καὶ τὸν μόνον γενόμενον παρίστησι τὰ ὑφ’ Ἑλένης λεγόμενα περὶ Ἑρμιόνης· παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν (Γ 175) **** σημαίνει δὲ καὶ τὸν τηλοῦ τῆς ἡλικίας τῷ πατρὶ γεγονότα, ὡς ἐπὶ δυοῖν γηράσκοντι τῷ πατρὶ γενομένων ἔφη ἄμφω τηλυγέτω · ὁ δ ’ ἐτείρετο γήραϊ λυγρ ῷ , υἱὸν δ ’ οὐ τέκε τ ’ ἄλλον (Ε 153.

303 54). ἐπὶ τοίνυν τοῦ Ἰδομενέως ὅταν λέγῃ ἀλ λ ’ οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς (Ν 470), ἐνδέχεται μὲν ἀκοῦσαι ἀπὸ τῶν μονογενῶν παίδων κατὰ μεταφορὰν τὸν μεμονωμένον, ἐνδέχεται δὲ καὶ ὡς τηλοῦ γενεᾶς ὄντα, ἤτοι πρεσβύτην· ἔφη γὰρ περὶ αὐτοῦ· ἔνθ α , μεσαιπόλιός περ ἐώ ν , Δαναοῖσι κελεύσας Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε (ib. 361. 62). παρέχει δὲ ὁ ποιητὴς τὴν ἀμφίβολον ἐκδοχὴν αὐτὸν ποιήσας λέγοντα τὸν Ἰδομενέα ἐπιόντος Αἰνείου· δεῦτε φίλοι καί μ ’ οἴῳ ἀμύνατ ε , δείδια δ ’ αἰνῶς (ib. 481)· ἐκ γὰρ τοῦ οἴῳ ἀμύνατε τηλύγετον ἔστιν ἐκδέξασθαι τὸν μόνον. ὅταν δὲ ὁ αὐτὸς πάλιν λέγῃ καὶ δ ’ ἔχει ἥβης ἄνθο ς , ὅ τε κράτος ἐστὶ μέγιστον · εἰ γὰρ ὁμηλικίη γενοίμεθα τῷ δ ’ ἐνὶ θυμ ῷ , αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην (ib. 484—86), ἀμφίβολον γίνεται μὴ τὸ μὲν τηλύγετόν γε ἔοικεν ἐπὶ τοῦ μὴ ὁμήλικος ἀλλὰ πρεσβυτέρου καὶ τῆς τηλοτέρας γενεᾶς ὄντος, ὡς ἔφη ποτὲ ἐπὶ τοῦ μὴ ὁμήλικος οὗτος δὲ προτέρης γενεῆς προτέρων τ ’ ἀνθρώπων (Ψ 790).

304 Ἀλλ’ Ἰδομενεὺς μὲν μεσαιπόλιος καὶ διὰ τοῦτο τῆς προτέρης γενεῆ ς , Νέστωρ δὲ γέρων τρίτης, ἀφ’ οὗ δύο μὲν γὰρ γενεαὶ ἐφθάρησαν τῶν πρὸ αὐτοῦ, ἥ τε τῶν πατρῴων, ὑφ’ ὧν γεννηθεὶς ἀνετράφη, καὶ ἡ τῶν ἀδελφῶν— ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακληείη · τῶν οἶος λιπόμην (Λ 689.

304col1 (4) 92)—, τρίτης δὲ ἄρχει τῆς τῶν παίδων γενεᾶς, οἳ σὺν αὐτῷ ἐστρατεύοντο. καὶ γὰρ ὁ ληγούσης ἡμέρας ἐπιδημήσας καὶ τῆς τρίτης ἕωθεν ἐξιὼν τῇ τρίτῃ ἀποδημεῖν λέγεται, καίτοι μίαν τὴν μέσην ὅλην τελέσας.

305col1 εἰ δὲ γενεὰ λέγεται ἡ τοῦ τίκτειν καὶ γεννᾶν τελείωσις, ἥτις τὴν τριακονταετῆ περίοδον ἔχει, ὁ τὰ ἑξήκοντα ἔτη πληρώσας δύο ἂν εἴη γενεὰς βιώσας, ἀπὸ δ’ ἑξήκοντα ἐν τῇ τρίτῃ ἂν καταλέγοιτο. ὥστε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν. οὐχ ὅτι καὶ ἀνθρώπους φησὶν ἀποθανεῖν, ἀλλὰ δύο περιοδικὰς γενεὰς τὰς καλουμένας ἀνθρωπίνας, ὡς εἰ ἔλεγε δύο τριακονταετίας, αἳ καλοῦνται γενεαὶ ἀνθρώπειοι. οὕτω δ’ ἂν ζώντων τινῶν τῶν σὺν αὐτῷ γεννηθέντων ὁμοίως αἱ γενεαὶ ἂν εἶεν ἐφθαρμέναι, αὐτὸς δ’ ἄρχοι τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν στρατεύσιμον ἡλικίαν. ταῦτα τοίνυν καὶ τὰ τούτοις ὅμοια, ὡς τὸ ἀμφίβολον ἔχοντα, ἐνδοιάζοντα δεῖ ἐξηγεῖσθαι. L p f.

304col2 (4) 57 b ad Α 250 (id. Vict. f. 15 b : δύο μὲν γενεάς, ἥ τε τῶν πατέρων, ὑφ’ ὧν γεννηθεὶς ἀνετράφη, καὶ ἡ τῶν ἀδελφῶν— ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακληείη · τῶν οἶος λιπόμην —, ταύτης δὲ ἄρχει τῆς τῶν παίδων ἑαυτοῦ γενεᾶς, οἳ σὺν αὐτῷ ἐστρατεύσαντο. καὶ γὰρ ὁ ληγούσης. ἡμέρας ἀποδημήσας καὶ τῇ τρίτῃ ἐξ ἑωθινοῦ ἐξιὼν διὰ τρίτης ἀποδημεῖν λέγεται, καίτοι μίαν μόνην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν μέσην τελέσας. ἄλλως τε ἡ γενεὰ λʹ ἔτη ἔχει· δύο οὖν γενεὰς πληρώσας εἰς τρίτην κατελέγετο, ὥστε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν, οὐχ ὅτι δὴ ἀνθρώπους φησὶν ἀποθανεῖν, ἀλλὰ δύο περιοδικὰς γενεάς, τουτέστι τὰς καλουμένας δύο γενεὰς ἀνθρωπείας, ὡς εἰ ἔλεγε δύο τριακονταετίας.

305col2 οὕτω δὲ ζώντων τινῶν τῶν σὺν αὐτῷ ἀνθρώπων, ὁμῶς αἱ γενεαὶ ἂν εἶεν ἐφθαρμέναι, αὐτὸς δὲ ναύαρχος τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν στρατεύσιμον ἡλικίαν. ιεʹ.

305 (21n) ( Transiit in scho l. * B f. 3 b ad χολωσέμεν A 78. * ) Πρῶτος δοκεῖ Πλάτων (Phil. p. 47 E) λύπας ἡδοναῖς μιγνυμένας δεικνύναι ἐπ’ ὀργαῖς καὶ πένθεσιν, Ὁμήρου πρότερον τουτὶ συνεωρακότος καὶ τὸν Πλάτωνα διδάξαντος.

306 ὀργὴν μὲν γὰρ οὐδέποτε Ὅμηρος εἴρηκε, χόλον δὲ αὐτὴν προσαγορεύει οἰκειοτέρως, ἀπὸ τῆς χολῆς, ἥτις ἐν τῷ πάθει κρατεῖ, ἄχος δὲ μεμίχθαι καὶ ἡδονὴν τῷ χόλῳ φησίν, ἄχος μὲν ὅταν λέγῃ· Πηλείωνι δ ’ ἄχος γένε τ’ , ἐν δέ οἱ ἦτορ στήθεσσι λασίοισι διάνδιχα μερμήριξεν (A 188. 89)· ἄχους οὖν παρουσίαν ὁ χόλος ὑφίσταται, ὃν καὶ θυμὸν κέκληκεν· ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν (A 192)· θυμὸν γὰρ νῦν τὸν χόλον ἔφη, οὐχ ὡς ἀλλαχοῦ τὴν ψυχήν. ὅτι δὲ οὐ γεννᾷ μόνον ὀργὴν ἡ λύπη, ἀλλὰ καὶ συμπαραμένει, δηλοῖ ἐπὶ τοῦ Ἀχιλλέως μηνίοντος λέγων κούρης χωόμενος (B 689) καὶ ἐπάγων· τῆς ὅγε κεῖ τ ’ ἀχέων (B 694). ὅτι δ’ ἡδονῇ συμμιγὴς ἡ ὀργὴ καὶ ὅτι ἔφεσίς ἐστι καὶ μέτοχος ἐπιθυμίας, ἐξηγεῖται λέγων· χόλος ὅς τ ’ ἐφέηκε πολύφρονά περ χαλεπῆναι (Σ 108), ἤτοι ἐν ἐφέσει καὶ ἐπιθυμίᾳ τοῦ χαλεπαίνειν ἐποίησε. πῶς οὖν ἡδονῆς μέτοχος; ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠύτε καπνός (Σ 109. 110)· καρδίας γὰρ ἔπαρσιν εἶναι καὶ ὁρμὴν ἐγειρομένην τὴν ὀργήν, ὅπερ αὐτὸς ἐν ἄλλοις ἔφη· ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ (I 646), καὶ ἐπὶ τοῦ Μελεάγρου· ἀλ λ ’ ὅτε δὴ Μελέαγρον ἔδυ χόλο ς , ὅς τε καὶ ἄλλων οἰδάνει ἐν στήθεσσι νόον (I 553. 54). οὐ μόνον δὲ αὐτὴν ἔπαρσιν καὶ ἔφεσιν ἀποδεδώκασιν ἀλλὰ καὶ ζέσιν. διὸ καπνῷ τε ἀπεικάζει τὴν ἔπαρσιν καὶ τοῦ ὀργισθέντος πυρὶ τοὺς ὀφθαλμοὺς ἐοικέναι φησίν (A 104).

307 [καὶ μὴν ἡ λύπη μελαίνει τοὺς ὀφθαλμούς, μελαίνει δὲ καὶ ὁ καπνός· ῥωγαλέα ῥυπόωντα κακῷ μεμορυγμένα καπνῷ (ν 435). τὸ οὖν ἄχος τῆς ὀργῆς αἴτιον ὄν, καπνίζον τὴν ὀργήν, μελαίνει τὰς φρένας· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο (A 103). τὸ δ’ ἄχος καὶ τὸ ἄχνυσθαι ὅτι μελαίνει, φησὶν ἀχθομένην ὀδύνῃσ ι , μελαίνετο δὲ χρόα καλόν (E 354). τὸ δ’ ἄχθεσθαι τοῦ ἄχνυσθαι πλεονασμῷ δηκτικῆς ἀγανακτήσεως διαφέρει, λύπη δ’ ἑκάτερον.] ἐπιμένων δὲ τῇ ἐξάψει τῇ ἐπὶ τῶν ὀργιζομένων ἔφη· κεῖνος δ ’ οὐκ ἐθέλει σβέσσαι χόλον (I 677). κατηγορεῖ δὲ τοῦ πάθους καὶ ἀγριότητα· αὐτὰρ Ἀχιλλεὺς ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν (I 628), καὶ πάλιν· χόλος δέ μιν ἄγριος ᾕρει (Δ 23), πρὸς ὃν καὶ ὁ παραινῶν ἔφη ὡς ἐπὶ ἀγρίου θηρίου· ἀλ λ ’ Ἀχιλε ῦ , δάμασον θυμὸν μέγαν (I 496). καὶ πάλιν ἐνδεικνύμενος τὴν θηριωδίαν φησίν· εἰ δὲ σύ γ ’ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας ἄλλους τε Τρῶα ς , τότε κεν χόλον ἐξακέσαιο (Δ 34 sqq.). καὶ ὅτι τῶν ἐν κινήσει ἀλλ’ οὐκ ἐν σχέσει ἐστὶν ὁ χόλος, καθάπερ καὶ τὴν ὀργὴν τῶν ἐν κινήσει φασὶν εἶναι οἱ φιλόσοφοι, δηλοῖ τὰ τοιαῦτα· Ἀτρείωνα δ ’ ἔπειτα χόλος λάβε ν , αἶψα δ ’ ἀναστὰς ἠπείλησε μῦθον (A 387), καὶ πάλιν· Πηλείδης δ ’ ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε καὶ οὔπω λῆγε χόλοιο (A 223.

308 24), ὡς ἂν δυναμένου καὶ παύσασθαι. ὅταν δ’ ἐν σχέσει γένηται καὶ ἡσυχάζῃ, κότον καλεῖ. διό φησιν· εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψ η , ἀλλά τε καὶ μετόπισθεν ἔχει κότο ν , ὄφρα τελέσσῃ (A 81. 82), ὡς ἐγχωροῦν ἐᾶσαι μὲν τὸν χόλον, περιποιεῖν δὲ τὸν κότον, μηνίειν δὲ εἰκότως, ἀφ’ οὗ κινηθέντος πάλιν χόλος. ταὐτὸν δὲ καὶ ὁ θυμός, ὅταν μὴ τὴν ψυχὴν σημαίνῃ, δηλοῖ τῷ χόλῳ· ἀλλ’ ὁ μὲν θυμὸς ἀπὸ τοῦ θύειν, ὁ δὲ χόλος ἀπὸ τοῦ χολᾶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσηγόρευται. εἰπὼν γοῦν· μήτι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν ἐπάγει· θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων (Β 195. 96), καὶ πάλιν· ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν (Α 192), καὶ πάλιν· καὶ μάλα περ θυμῷ κεχολωμένον (Α 217), εἰ μή τις ἐνταῦθα θυμὸν τὴν ψυχὴν ἀκούοι [ὡς τὸ ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν (Ι 629).

309 τὸ δ' ἄληκτόν τε κακόν τε θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν οὐρανίωνες οὕνεκα κούρης (Ι 636 sqq.) ἐπὶ τοῦ χόλου λέγεται καὶ ἀντὶ τῆς ὀργῆς παραλαμβάνει]. ὅτι δὲ παρὰ τὸ θύειν καὶ ἐγείρεσθαι καὶ ἡ ψυχὴ καὶ ἡ ὀργὴ θυμός, δηλοῖ λέγων· Τρωσὶ θυμὸν ἐγεῖραι (Ε 510). θυμὸς δὲ καὶ χόλος προσλαβὼν τὴν ἐπὶ τὸ δρᾶσαι κακὸν ἀγανάκτησιν χώεσθαι λέγεται, καὶ ὁ ἐν τῷ τοιούτῳ πάθει χωόμενος κῆρ (Α 44)· αὐτίκα γοῦν τὸν λοιμὸν ἐπάγει, καὶ δράσαντος ἐρωτῶσιν· ὅς κ ' εἴπῃ ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων (Α 64)· διὸ καὶ ἐπὶ τοῦ δρᾶσαί τι πονηρὸν δυναμένου δι' ὀργὴν βασιλέως εἴρηται· κρείσσων γὰρ βασιλεύ ς , ὅτε χώσεται ἀνδρὶ χέρηι (Α 80). οὕτως εἴρηκε καὶ τὸ σὺ δ ' ἔνδοθι θυμὸν ἀμύξεις χωόμενος (Α 243), δηλῶν τὸ δραστικὸν δι' ἀγανάκτησιν περιέχειν τὸ χώεσθαι. καὶ τοίνυν τὸ χωόμενος δ ' ὁ γέρων πάλιν ᾤχετο (Α 380) ἀκουσόμεθα οὐχ ἁπλῶς ὀργιζόμενος, ἀλλὰ μετ' ἀγανακτήσεως ἀμυντικῆς, διὸ καταρᾶται, καὶ οὕτως ἀμυνόμενος. καὶ χωόμενος δὲ κατὰ θυμὸν ἐυζώνοιο γυναικὸς (Α 429) Ἀχιλλεὺς τῇ ὀργῇ δηλοῦσθαι ποιεῖ τὴν τιμωρητικὴν δι' ἀγανάκτησιν ἄμυναν· ἐπεξέρχεται οὖν διὰ τῆς μητρὸς τοῖς Ἕλλησι καὶ οὐχ ἁπλῶς ὀργίζεται. ὥσπερ γὰρ τὸ ἄχθεται πρὸς τὸ ἄχνυται ἔχει περιττεύουσαν ἀγανάκτησιν, οὕτω τὸ χώεσθαι πρὸς τὸ χολοῦσθα ι· μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη (ζ 147), ἀντὶ τοῦ ὀργισθείη, γαῖα δ ' ὑπεστονάχιζε Διὶ ὡς τερπικεραύνῳ χωομέν ῳ, καὶ ἐπάγει τὰ ἐκ τοῦ χώεσθαι· ὅτε τ ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάσσῃ (Β 781. 82). ἐν κινήσει μὲν οὖν χόλος καὶ θυμός. καὶ ταὐτὸν δὲ τῷ χώεσθαι τὸ σκύζεσθα ι.

310 εἰπὼν γοῦν σέθεν δ ' ἐγὼ οὐκ ἀλεγίζω χωομένης (Θ 477) ἐπάγει· οὔ σευ ἔγωγε σκυζομένης ἀλέγω (Θ 482), ἐπὶ δὲ τοῦ Ἀχιλλέως χωόμενος κατὰ θυμόν (Α 429) εἰπὼν ποιεῖ λέγοντα· οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον (Ι 198). ἐν δὲ σχέσει μῆνι ς , μένος καὶ κότο ς· καὶ μῆνις μὲν καὶ μένος ὀργὴ ἐναπόθετος καὶ ἔμμονος· πάλιν δὲ μῆνις, προσειληφυῖα τὸ ἐπιτηρητικὸν μετ' ἀγανακτήσεως καὶ κακοποιίας, κότος γίνεται, ὡς τὴν μὲν μῆνιν ἐκ τοῦ χόλου ἐναποκεῖσθαι, τὸν δὲ κότον ἐκ τοῦ χώεσθαι. ὅτι δὲ παρὰ τὸ μένειν ἡ μῆνις· αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι (Α 488) καὶ ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήν ι ' Ἀχαιοῖσι (Α 422. 23), καὶ ὅτι διὰ τὸ μένειν καὶ κεῖσθαι ἡσυχάζοντα καὶ σιγῶντα, φησὶ κεῖ τ ' ἀπομηνίσας (Ε 772), παρὰ τὸ κεῖσθαι τὸν μηνίοντα· καὶ ὁ πᾶς χρόνος μηνιθμός· πάν θ ' ὑπὸ μηνιθμόν (Π 202). ὅτι δὲ μένος καὶ μῆνις ταὐτόν· Ἀτρεΐδ η , σὺ δὲ παῦε τεὸν μένος (Α 282). τίς οὖν ἡ μῆνι ς; χόλος, φησὶ, μὴ ἀφεθείς· ἐπάγει γοῦν· αὐτὰρ ἔγωγε λίσσο μ ' Ἀχιλλῆι μεθέμεν χόλον (Α 282. 83)· καὶ πάλιν ἀντὶ τοῦ φάναι μὴ μήνιε ἔφη· ἕα δὲ χόλον θυμαλγέα (Ι 260), καὶ παυσαμένῳ μήνιδός φησι μεταλλήξαντι χόλοιο (Ι 157). καὶ ὁ μεθεὶς τὸν χόλον καὶ ἀμήνιτος μεθήμων· ἀλλὰ μά λ ' οὐκ Ἀχιλῆι χόλος φρεσί ν , ἀλλὰ μεθήμων (Β 241)· καὶ ὁ ἄγαν τηρῶν καὶ ἀναφαιρέτως τὸν χόλον αἰὲν ἐπιζαφελῶς χαλεπαίνει (Ι 514)· ζαφελὲς γὰρ τὸ ἀναφαίρετον, καὶ ζαφελὴς οὖν χόλος ἡ μῆνις, ὅτε κέν τι ν ' ἐπιζαφελὴς χόλος ἵκοι (Ι 521)· περὶ γὰρ τῶν μηνιόντων ὁ λόγος.

311 [καὶ τὸ μένος δὲ παρὰ τὸ μένειν, μένειν δὲ ἀκίνητον καὶ ἄτρομον καὶ μὴ φεύγειν· ἐν γάρ τοι στήθεσσι μένος πατρώιον ἧκα ἄτρομον (Ε 125). ὅτι γὰρ παρὰ τὸ μένειν· ἔτι μοι μένος ἔμπεδόν ἐστι (Ε 254). καὶ μένος οὖν χειρῶν τὸ ἔμμονον ἔργον πρὸς τὸ δράξασθαι· οἱ δὲ μένος χειρῶν ἰθὺς φέρον (Ε 506)]. ὅτι δὲ τὸ μένος σθένος· πάντως οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι (Θ 450) εἰπόντος Διός, εὖ ν υ, φησὶ, καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν (Θ 463). ὡς οὖν τὸ σθένος μένος, οὕτω καὶ χόλος μένων μένος καὶ μῆνις. εἰπὼν γοῦν χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις (Ε 178 confus. c. γ 135) ἐπάγει· οὐ γάρ τ ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων (γ 147). ἔτι δὲ

μῆνις ἐπιτηροῦσα καιρὸν τιμωρίας κότον ποιεῖ· ἀλλά γε καὶ μετόπισθεν ἔχει κότο ν , ὄφρα τελέσσῃ (Α 82), τὸ γὰρ ὄφρα τελέσσ ῃ· ἕως ἂν κατεργάσηται καὶ λυπήσῃ τὸν λυπήσαντα. ὅτι δὲ παρὰ τὸ ἐγκεῖσθαι κότος εἴρηται, ἐξηγεῖται· ὅ τοι κότον ἔνθετο θυμῷ (λ 101), καὶ ὅτι ἐπιτηρητικὸν ὁ κότος εἰς τὸ δρᾶσαί τι πονηρόν· Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος αἰθέρι ναίων αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν τῆσ δ ' ἀπάτης κοτέω ν , τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα (Δ 166 sqq.

312 ), ὅμοιον τῷ ἔχει κότον ὄφρα τελέσσῃ (Α 82). καὶ πάλιν ὀλλῦσαι Τρῶας τοῖσιν κότον αἰνὸν ἔθεσθε (Θ 449)· ἔθεσθε δὲ ἐν τῷ θυμῷ ἀκουστέον, τὸ γὰρ αὐτό ἐστι τῷ κότον ἔνθετο (λ 101). καὶ εἰπὼν ὅτι τῷ Ἀγαμέμνονι καὶ ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ ' ἐνὶ θυμῷ (Β 223) προσάγει τὰ ἐκ τοῦ κότου· νῦν δή σ ε , ἄνα ξ , ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι (Β 284. 85). [καὶ ὅτι μὲν ἡ μῆνις μέγαν χόλον δηλοῖ· πὰρ Διὸς αἰγιόχοιο χόλος καὶ μῆνις ἐτύχθη (Ο 122)· ὅτι δὲ μῆνις ἀγανάκτησιν ἀμυντικὴν περιέχουσά ἐστιν ὁ κότος, παρίστησι διὰ τούτων· εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν ἱρῶν μηνίσας · χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις (Ε 177. 78)· μηνίσας οὖν ὁ θεὸς εἰς κότον μεθίσταται.] εἴρηται τοίνυν, ὅτι ἡ μὲν κατὰ κίνησιν πρόσκαιρος ὀργὴ χόλος καὶ θυμός, ἡ δὲ μετ' ἀγανακτήσεως δραστικῆς ἐνέργεια χώεσθαι λέγεται καὶ σκύζεσθαι, ὁ δ' ἀπόθετος χόλος μένος καὶ μῆνις, αὕτη δὲ τὸ ἀμύνεσθαι ἐπιτηροῦσα κότος, καὶ ὅπως ὁρμὴ ἐπηρτημένη μετὰ λύπης καὶ ὀρέξεως ἡ ὀργή, καὶ ὅπως κατὰ αὔξησιν τοῦ θυμοῦ γίνεται. ιϛʹ.

313 (1n) Editum B 1: ιζʹ. Vatic.

313col1 (4) Παρατηρεῖν δεῖ, ὡς, ὅταν ἐκ προσώπου τινὸς ἐπάγειν λόγους μέλλῃ τινὰς ὁ ποιητής, προλέγει προσημαίνων, οἷος ἔσται ὁ λόγος ἢ μεθ' οἵας διαθέσεως λεγόμενος. οὕτω γὰρ ὅρον λαβόντες παρὰ τοῦ ποιητοῦ ἐπὶ τὰ αὐτὰ οἷς αὐτὸς παρήγγειλε τῶν λεγομένων ἀκουσόμεθα, οἷον εἰπόντος τὸν δ ' ἄ ρ ' ὑπόδρα ἰδὼν προσέφη (Α 148), ὑβριστικοὺς προσεκτέον ἔσεσθαι τοὺς λόγους, οἷοι ἂν γένοιντο ὑπὸ τοῦ ὑποβλεπομένου· καὶ πάλιν προειπόντος καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα (ς 9), θεωρητέον, εἰ οἱ ἐπάγεσθαι μέλλοντες λόγοι ὀνείδη παρέχουσιν. ὅταν δέ· ὅς σφιν εὖ φρονέων ἀγορήσατο καὶ μετέειπε (Α 73), φρονίμους προσδεκτέον λόγους.

314col1 φρονίμου δέ ἐστι τὰς αἰτίας τῶν ἐνεστηκότων εἰπεῖν, καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητά. τὸ μὲν οὖν ἀγορήσατο δηλοῖ τὴν ἐξήγησιν καὶ φανέρωσιν τῶν ἐνεστηκότων, οἷον οὔ τ ' ἄ ρ ' εὐχωλῆς ἐπιμέμφεται καὶ τὰ ἑξῆς (Α 93), τὸ δὲ μετέειπε τὸ μετάγειν τὸ ποιητέον, ἐπάγει γάρ· οὐ δ ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει καὶ τὰ ἑξῆς. καὶ ἐπὶ τοῦ Νέστορος· ὢ πόπο ι , ἦ μέγα πένθος Ἀχαιίδα γαῖαν ἱκάνει (Α 254), διήγησιν ἔχει τῶν ἐνεστώτων ἃ ἀγορήσατο, τὸ δὲ ἀλλὰ πείθεσθε καὶ ὔμμες (Α 274) ἃ δεῖ πράττειν λέγει. καὶ πάλιν ὅταν εἴπῃ· καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι ( θ 20 1) , δεῖ ἡμᾶς τῶν μελλόντων λέγεσθαι λόγων ἀκούειν ὡς κούφων καὶ ἐπηρμένω ν , ὑψηλολογοῦντος διὰ τὴν νίκην τοῦ Ὀδυσσέω ς . τοιοῦτον γὰρ τὸ τούτων νῦν ἐφίκεσθ ε , νέο ι, καὶ τὰ ἑξῆς· προθεωροῦντι γὰρ ἔοικεν ὁ ποιητὴς ἑαυτὸν καὶ προδιατιθέντι τοὺς ἀκουσομένους περὶ τοῦ εἴδους τῶν λόγων.

315col1 ἐκ τούτων δὲ πολλὰ ἔνεστι λύειν τῶν παρεωραμένων τοῖς γραμματικοῖς. αὐτίκα τὸ ἐπὶ τοῦ Διός· αὐτί κ ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρη ν , κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων (Δ 5. 6), μὴ νοήσαντές τινες ὅτι περὶ τοῦ μέλλοντος τρόπου τοῦ λόγου εἴρηκεν ἀλλοκότους ἐξηγήσεις πεποίηνται· φησὶ δὲ ὅτι παραβλητικοῖς ἐχρῆτο λόγοις παραβάλλων καὶ ἀντεξετάζων τὴν Ἀφροδίτης Ἀλεξάνδρῳ ἐπικουρίαν πρὸς τὴν Ἥρας καὶ Ἀθηνᾶς τῷ Μενελάῳ γινομένην.

316col1 τὸ οὖν παραβλήδην τὸ μετὰ τοῦ παραβάλλειν λέγει, ὃ εἰώθασι λέγειν συγκρίνειν. καὶ ὅτι τοῦθ' οὕτως ἔχει, δηλοῖ ὁ τοῦ Διὸς λόγος συγκριτικὸς ὤν· δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάω ν , Ἥρη τ ' Ἀργείη καὶ ἀλαλκομενὶς Ἀθήνη · ἀλ λ ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέρπεσθο ν , τῷ δ ’ αὖτε φιλομειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει (Δ 7 sqq.). καὶ οὐκ ἔστιν ἁπλῶς παραβολὴ καὶ ἀντεξέτασις, ἀλλ’ οὕτως ἐρεθιστικὴ καὶ κέρτομος, ὡς προεῖπεν· δύο μὲν Μενελάῳ, μία δ’ Ἀλεξάνδρῳ, καὶ ἡ μὲν Ἥρα ὡς Ἀργεία τῷ Μενελάῳ ἐπαρκεῖν ὀφείλουσα, ἡ δὲ Ἀθηνᾶ ἀλαλκομενηίς, ἡ δὲ Ἀφροδίτη φιλομειδὴς καὶ οὐκ ἀπ’ Ἰλίου· καὶ ὅμως αἱ μὲν νόσφι τοῦ Μενελάου κάθησθε, ἡ δὲ ἀεὶ παρμέμβλωκ ε· καὶ αἱ μὲν θεωροὶ εἰς τέρψιν τῶν ἀγώνων, ἡ δὲ αὐτοῦ κῆρας ἀμύνει συμπαραμένουσα καὶ νῦν ἐξεσάωσας ὀιόμενον θανέεσθαι (Δ 12). ὀρθῶς ἄρα προεῖπεν ὅτι ἐρεθιστικὸς ὁ λόγος ἔσται καὶ χλευαστικός. πάλιν ὅταν ἐπὶ τῆς Θέτιδος λέγῃ ὣς ἔχε τ ’ ἐμπεφυυῖα καὶ εἴρετο δεύτερον αὖτις (Α 513) τὸ εἴρετο οὐ χρὴ ἀκούειν ἀντὶ τοῦ ἠρώτησεν ἁπλῶς, ἀλλ’ ἀντὶ τοῦ ἠρώτα τὸ ἀληθὲς μαθεῖν θέλουσα· ἐπάγει γὰρ νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον ἢ ἀπόει π’ , ἐπεὶ οὔτοι ἔπι δέο ς , ὄφ ρ ’ εὖ εἰδ ῶ.

317col1 [καὶ ἐν ἄλλοις ἔφη· εἰρωτᾷς μ ’ ἐλθόντα θεὰ θεό ν , αὐτὰρ ἐγώ τοι νημερτέως τὸν μῦθον ἐνισπήσω (ε 97. 98)]. καὶ τὸ εἴρεαι τοίνυν ὁππόθεν εἰμέν (γ 80) οὕτως ἀκουσόμεθα· τἀληθὲς ἀκοῦσαι βουλόμενος ἐξετάζεις· καὶ τὸ Ἑρμείαν ἐρέεινε Καλυψὼ δῖα θεάων (ε 85)· ἐπάγει γὰρ αὔδα ὅτι φρονέεις (ε 89) ** ἐνισπεῖν ***** καὶ τὸ νημερτέως τὸν μῦθον ἐνισπήσω (ε 98) ἤτοι ἀναμαρτήτως τἀληθὲς ἐρῶ· κεῖται γὰρ ὡς εἰ ἔλεγεν ἐπαληθεύσομαί σοι ἀψευδῆ τὸν λόγον. καὶ τὸ ἔννεπε οὖν ἀληθῆ λέγε, καὶ τὸ ἄειδε πάλιν ἀληθῆ ἐν ποιήμασι λέγε· ἀοιδὴ γὰρ ἡ ποίησις. εἰπὼν οὖν ἀλ λ ’ ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον (θ 491), ἐπάγει· αἴ κεν δή μοι κατὰ μοῖραν καταλέξῃς (θ 496), ὅπερ ἐν ἄλλοις· πάντα κα τ ’ αἶσαν ἔειπε ς , ἀγακλεές (Ρ 716).

318col1 τί οὖν τὸ κα τ ’ αἶσαν εἰπεῖν; οὐ δ ’ ἂν ἔγωγε ἄλλα πάρεξ εἴποιμι παρακλιδὸν οὐ δ ’ ἀπατήσω (δ 347) [καὶ ὅταν δὲ προείπῃ εἶθαρ δὲ προσηύδα (Μ 353), τὸ εὐθὺ καὶ ἀληθὲς καὶ φανερὸν ἀκουσόμεθα. πάλιν ἔφη ἔπος ἀντίον ηὔδ α, τὸ ἄντικρυς καὶ διαρρήδην, ὃ ἐν ἄλλοις ἔφη ἀντικρὺ δ ’ ἀπόφημι (Η 362)]· τοῦ γὰρ εὐθέως λόγου δύναμις τὸ μὴ πάρεξ εἰπεῖν μηδὲ παρεκκλῖναι. καὶ τὸ ἀντίον δὲ ηὔδα ἐξηγήσατο· τῶν οὐδέν τοι ἐγὼν κρύψω ἔπος (δ 350)· οἱ γὰρ ἰθὺ καὶ κατεναντίον ἰόντες οὐ κρύπτονται ὡς οἱ κλέπτοντες. ὅθεν ἐπὶ τοῦ οὐκ ἀπατῶντος [ μ ὴ ] κλέπτε νόῳ (Α 132). τί οὖν τὸ κλέπτε νόῳ; ὅς χ ’ ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν ἄλλο δὲ βάζει (Ι 313). πάλιν ὁ ποιητὴς, τοῦ Ἀγαμέμνονος μέλλοντος λέγειν πρὸς τὸν Κάλχαντα μάντι κακῶ ν , οὐ πώποτέ μοι τὸ κρήγυον εἶπας · αἰεί τοι τὰ κά κ ’ ἐστὶ φίλα φρεσὶ μαντεύεσθα ι , ἐσθλὸν δ ’ οὔτε τί πω εἶπες ἔπος οὔ τ ’ ἐτέλεσσας (Α 106—8), καὶ διὰ τῆς ***** κακῶν μάντιν κακῶν πολλάκις ἀγορεύοντος, προλέγων ὅτι τοιοῦτοι ἔσονται οἱ λόγοι φησίν· Κάλχαντα [μάντιν] πρώτιστα κακοσσόμενος προσέειπεν (Α 105), οὐ κακῶς ὑποβλεψάμενος· οὐ γὰρ οἷόν τε τὸ κακῶς συναλεῖψαι διὰ τὸ σύμφωνον, οὐδ’ ἔστιν ὅπου τὸ ὑποβλέπεσθαι ὄσσεσθαι λέγει.

319col1 ἀλλὰ σημαίνει τὸ κακοσσόμενος ἐν συνθέτῳ ῥηθέν **** κακόμαντιν ἀποκαλεῖ. ἐπεὶ γὰρ ὄσσα ἡ θεία φήμη, ἣν καὶ Διὸς ἄγγελον ἔφη— μετὰ δέ σφισιν ὄσσα δεδήει ὀτρύνου ς ’ ἰένα ι , Διὸς ἄγγελος (Β 93)—, Διὸς δὲ ἄγγελοι καὶ οἱ μάντεις καὶ τῆς ὀπὸς τῶν θεῶν ἀκούουσιν, ἥτις ἐστὶν ὄσσα— ὣς γὰρ ὄ π ’ ἄκουσα θεῶν (Η 53)—, ἀπὸ τῆς ὄσσης πεποίηται τὸ κακοσσόμενος, ἤτοι ὡς κακόμαντιν αὐτὸν ὀνειδίζων, ὡς εἰ ἔλεγε· κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν.

320col1 οὐ γάρ ἐστιν ἁπλῶς κακολογῶν, ὅτι οὐδ’ ὄσσαν ἁπλῶς τὴν φωνὴν σημαίνει ἀλλὰ τὴν θείαν, ἀλλ’ ὡς ἐπὶ κακῷ χρώμενον τῇ θείᾳ φωνῇ λοιδορῶν. καὶ ἐν ἄλλοις· οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τό δ ’ ἱκάν ω , ἀλ λ ’ ἀγαθὰ φρονέουσα (Ω 172), οὐ κακὸν κληδονιζομένη, καὶ ὀσσόμενος πατέ ρ ’ ἐσθλὸν ἐνὶ φρεσίν (α 115), ἤτοι ἐν ἑαυτῷ κληδονιζόμενος καὶ εὐχόμενος θείας τυχεῖν φήμης περὶ τῆς ἐπανόδου τοῦ πατρός. καὶ τὸ οὔποτέ μοι θάνατον προτιόσσετο θυμός (ξ 219), ἀντὶ τοῦ προεμαντεύετο.

321col1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔτι μᾶλλον ἀπὸ τῆς ὄσσης τὸ ὄσσεσθαι αὐτὸς ἐδήλωσεν ἐπὶ τῶν μνηστήρων λέγων ἐς δ ’ ἰδέτην πάντων κεφαλά ς , ὄσσοντο δ ’ ὄλεθρον (β 152), ὃ ἐπ’ ἄλλου ἐξηγήσατο εἰπών· Ξάνθ ε , τί μοι θάνατον μαντεύεαι (Τ 420); τὴν δὲ ὄσσαν ὅτι θεία φωνὴ ἐξηγεῖται λέγων· ἢ ὄσσαν ἀκούσῃς ἐκ Διός (α 282). λέγει δὲ αὐτὴν καὶ κληδόνα· ἦλθο ν , εἴ τινά μοι κληδόνα πατρὸς ἐνίσποις (δ 317). κληδών δὲ παρὰ τὸ κλέος διδόναι καὶ φέρειν· ἢ ὄσσαν ἀκούσῃ ς , ἥ τε κλέος μάλιστα φέρει ἀνθρώποισι (α 282. 83), καὶ αὐτὸς ὁ Τηλέμαχος πατρὸς ἐμο ῦ, φησὶ, κλέος εὐρὺ μετέρχομαι (γ 83), καὶ ᾤχετο πευσόμενος μετὰ σὸν κλέος (ν 415), καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη μέγα κλέος· πεύθετο γὰρ Κύπρονδε μέγα κλέος (Λ 21). τὴν δὲ ὄσσαν, οὖσαν θείαν φωνήν, καὶ ὀμφὴν προσαγορεύει· θείη δέ μιν ἀμφέχυ τ ’ ὀμφή (Β 41) καὶ ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί (Θ 250), ἐπεὶ καὶ ἡ ὄσσα καὶ ἡ ὀμφὴ Διὸς ἄγγελοι.

322col1 ἔστι δέ τις ἄλλη δήμου φήμη ἡ ὑπὸ ** ****** ος ἀγγελίας· εὐνήν τ ’ αἰδομένη πόσιος δήμοιό τε φήμην (π 75) ********* ις. καὶ ἀγορὰ πολύφημος (β 150) ἐν ᾗ πολλὰ φατίζεται. ἤδη δὲ καὶ τὴν κληδόνα φήμην που εἴρηκε· φήμην δ ’ ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρίς (υ 105). ὥστε ὄσσα μὲν καὶ ὀμφή καὶ κληδών ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ ἐπὶ τῆς θείας κληδόνος καὶ τῆς ἀνθρωπίνης διαλαλήσεως· οἴεται γὰρ **** φωνὴν εἶναι Ὅμηρος, ἧς τοὺς μάντεις ἀκούειν— ὣς γὰρ ἐγὼν ὄ π ’ ἄκουσα θεῶν (Η 53)—, ταύτην δὲ διαδίδοσθαι μηδενὸς προκατάρξαντος ἀνθρώπου· ὄσσα δ ’ ἄ ρ ’ ἄγγελος ὦκα κατὰ πόλιν ᾤχετο πάντ η , μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ ἐννέπουσα (ω 413. 14), παρὰ γὰρ τὴν ὄπα τὸ ἐννέπουσ α. τὸ μὲν οὖν κακοσσόμενος σημαίνει τὸ εἰρημένο ν , τὸ δὲ κρήγυον (Α 100) οὐκ οἰδ’ ὅπως τὸ ἀληθές δηλοῦν ἀποδεδώκασιν, αὐτοῦ ἀντιτιθέντος οὐ τῷ ψευδεῖ ἀλλὰ τῷ κακῷ τὸ κρήγυο ν· ἀντίκειται δὲ τῷ κακῷ οὐ τὸ ἀληθὲς ἀλλὰ τὸ ἀγαθόν· οὐπώποτέ μοι τὸ κρήγυον ἔειπα ς , αἰεί τοι τὰ κά κ ’ ἐστὶ φίλα φρεσὶ μαντεύεσθα ι.

323col1 ἔστι δὲ κρήγυον τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές, ὃ ταὐτὸν τῷ θυμῆρες. καὶ ἐν ἄλλῳ· οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες (ξ 509), οὐ γὰρ παρὰ τὸ προσῆκον τὰ κακὰ ἠγόρευσας. οἶμαι δὲ ὅμοιον εἶναι τὸ μάντι κακῶν (Α 106) τῷ αἰναρέτη (Π 31), ὃ σημαίνει τὸν κακωτικὴν ἀρετὴν κεκτημένον. καὶ ὁ ὀλοόφρων βλαπτικὴν ἔχων φρόνησι ν , καὶ οὐλόμενος δὲ ὁ ὀλοὸν ἔχων μένος, οὐλομένη τε μῆνις ἡ ἐξ ὀλοοῦ μένους γεννηθεῖσα· ὁ γὰρ ταύτην ἔχων ὀλοός· ἀλ λ ’ ὀλοῷ Ἀχιλῆι θεοὶ βούλεσ θ ’ ἐπαρήγειν (Ω 39). ταῦτα οὖν λέγει τοῖς ἀγαθόν τι κεκτημένοις μὴ ὠφελοῦσι δὲ δι’ αὐτοῦ τινας· ἥ τε γὰρ ἀρετὴ καὶ ἡ φρόνησις καὶ τὸ μένος καὶ ἡ μαντικὴ τῶν ἀγαθῶν, οἱ δὲ μὴ δι’ αὐτῶν ὠφελοῦντες εἰκότως διαβάλλονται ὡς ἐπὶ κακῷ κεκτημένοι τὸ ἀγαθόν.

324col1 ἄλλα δὲ εἴωθε συντιθέναι εἰς διαβολήν τινων ὡς δυσωνύμων, ὡς τὸ Δύσπαρι (Γ 39) καὶ τὸ μῆτερ δύσμητερ (ψ 97) καὶ ἦ τάχα Ἶρος ἄιρος (ς 73)· ἔστι γὰρ ὁ κακόιρος, ὡς ἄμορφος γυνὴ καὶ Ἴλιον Κακοΐλιον οὐκ ὀνομαστήν (τ 260)· διὰ γὰρ τοῦ οὐκ ὀνομαστήν τὸ δυσώνυμον ἐπεσημήνατο. * B f.

313col2 (4) 6 a ad ἠμείβετ’ Α 121. Παρατηρεῖν δεῖ, ὅτι, ὅταν ἐκ προσώπου τινὸς μετάγειν λόγους μέλλῃ τινὰς ὁ ποιητής, καὶ προλέγει προσημαίνων, οἷος ἔσται ὁ λόγος ἢ μεθ’ οἵας διαθέσεως λεγόμενος. οὕτω γὰρ ὅρον λαβόντες παρὰ τοῦ ποιητοῦ ἐπὶ τοῖς αὐτοῖς οἷσπερ ὁ ποιητὴς παρήγγειλε τῶν λεγομένων ἀκουσόμεθα· οἷον εἰπόντος τὸν δ ’ ἄ ρ ’ ὑπόδρα ἰδὼν προσέφη, ὑβριστικοὺς προσδεκτέον ἔσεσθαι τοὺς λόγους, οἷοι ἂν γένοιντο ὑπὸ τοῦ ὑποβλεπομένου· καὶ πάλιν προειπόντος· καί μιν νεικείων ἔπεα πτερόεντα, θεωρητέον, εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ὀνείδη παρέχουσιν. ὅταν δέ· ὅ σφιν εὖ φρονέων ἀγορήσατο καὶ μετέειπε, φρονίμους προσδεκτέον λόγους.

314col2 φρονίμου γάρ ἐστι τὰς αἰτίας τῶν ἐνεστηκότων εἰπεῖν καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητά. τὸ μὲν οὖν ἀγορήσατο δηλοῖ τὴν ἐξήγησιν καὶ φανέρωσιν τῶν ἐνεστηκότων, ὡς ὁ λέγων οὔ τ ’ ἄ

ρ ’ ὅ γ ’ εὐχωλῆς ἐπιμέμφεται οὐ θ ’ ἑκατόμβη ς , ἀλ λ ’ ἕνε κ ’ ἀρητῆρο ς , ὃν ἠτίμη ς ’ Ἀγαμέμνω ν , τὸ δὲ μετέειπε τὸ μετὰ ταῦτα ἐπαγαγεῖν τὸ ποιητέον· ἐπάγει γάρ· οὐ δ ’ ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξε ι , πρίν γ ’ ἀπὸ πατρὶ φίλῳ δόμεναι καὶ τὰ ἑξῆς. καὶ τὰ ἐπὶ τοῦ Νέστορος· ὢ πόπο ι , ἦ μέγα πένθος Ἀχαιίδα γαῖαν ἱκάνει, διήγησιν ἔχει τῶν ἐνεστώτων ἅπερ ἀγορήσατο, ἐπὶ δὲ τοῦ ἀλλὰ πίθεσθε καὶ ὔμμες μετὰ τὸ διηγήσασθαι τὰ ἐνεστηκότα εἶπεν ἃ δεῖ πράττειν. πάλιν ὅταν προείπῃ· καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι, δεῖ ἡμᾶς τῶν μελλόντων λέγεσθαι λόγων ἀκούειν ὡς κούφων καὶ ἐπηρμένων, ὑψηλολογοῦντος διὰ τὴν νίκην τοῦ Ὀδυσσέως. τοιοῦτον γὰρ τὸ τοῦτον νῦν ἐφίκεσθ ε , νέο ι, καὶ τὰ ἑξῆς· προθεωροῦντι γὰρ ἔοικεν ὁ ποιητὴς ἑαυτὸν καὶ προδιατιθέντι τοὺς ἀκουσομένους περὶ τοῦ εἴδους τῶν λόγων.

315col2 ἐκ δὲ τούτου πολλὰ ἔνεστι λύειν τῶν παρεωραμένων τοῖς γραμματικοῖς· αὐτίκα τὸ ἐπὶ τοῦ Διός· αὐτί κ ’ ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων, μὴ νοήσαντές τινες ὅτι περὶ τοῦ μέλλοντος τρόπου τοῦ λόγου εἴρηκεν, ἀλλοκότους ἐξηγήσεις πεποίηνται. φησὶ γὰρ ὅτι παραβλητικοῖς ἐχρῆτο λόγοις ὁ Ζεὺς παραβάλλων καὶ ἀντεξετάζων τὴν Ἀφροδίτης Ἀλεξάνδρῳ ἐπικουρίαν πρὸς τὴν Ἥρας καὶ Ἀθηνᾶς τῷ Μενελάῳ γιγνομένην.

316col2 τὸ οὖν παραβλήδην τὸ μετὰ τοῦ παραβάλλειν λέγει, ὅπερ εἰώθασι λέγειν συγκρίνειν. καὶ ὅτι τοῦθ’ οὕτως ἔχει, δηλοῖ ὁ τοῦ Διὸς λόγος συγκριτικὸς ὤν· δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάω ν , Ἥρη τ ’ Ἀργείη καὶ ἀλαλκομενηὶς Ἀθήν η . ἀλ λ ’ ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθο ν , τῷ δ ’ αὖτε φιλομειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνε ι. καὶ οὐκ ἔστιν ἁπλῶς παραβολὴ καὶ ἀντεξέτασις, ἀλλ’ οὕτως ἐρεθιστικὴ καὶ κέρτομος, ὡς προεῖπεν ἔσεσθαι· δοιαὶ μὲν Μενελάῳ, μία δὲ τῷ Ἀλεξάνδρῳ, καὶ ἡ μὲν Ἥρα κηδεμὼν τοῦ Ἄργους κἀκεῖ χρηματίζουσα καὶ διὰ τοῦτο καὶ τοῦ Μενελάου κήδεσθαι ὀφείλουσα, ἡ δὲ Ἀθηνᾶ ἀλαλκομενής, ἡ δ’ Ἀφροδίτη φιλομειδὴς καὶ οὐκ ἀπ’ Ἰλίου, καὶ ὅμως αἱ μὲν νόσφι τοῦ Μενελάου κάθησθε, ἡ δὲ ἀεὶ παρμέμβλωκ ε· καὶ αἱ μὲν θεωροὶ εἰς τέρψιν τῶν ἀγώνων, ἡ δὲ αὐτῷ κῆρας ἀμύνει συμπαραμένουσα· καὶ νῦν ἐξεσάωσεν ὀιόμενον θανέεσθα ι. ὀρθῶς ἄρα προείρηκεν, ὅτι ἐρεθιστικὸς ὁ λόγος ἔσται καὶ χλευαστικὸς καὶ παραβλητικός. πάλιν ὅταν ἐπὶ τῆς Θέτιδος λέγῃ ὣς ἔχε τ ’ ἐμπεφυυῖα καὶ ἤρετο δεύτερον αὖτις, τὸ ἤρετο οὐ χρὴ ἀκούειν ἀντὶ τοῦ ἠρώτα ἁπλῶς, ἀλλ’ ἀντὶ τοῦ ἠρώτα τὸ ἀληθὲς μαθεῖν θέλουσα· ἐπάγει γὰρ νημερτὲς μὲν δήμοι ὑπόσχεο καὶ κατάνευσον ἢ ἀπόει π’ , ἐπεὶ οὔ τοι ἔπι δέο ς , ὄφ ρ ’ εὖ εἰδ ῶ , ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι [ἐπεὶ καὶ ἐν ἄλλοις ἔφη· εἰρωτᾷς μ ’ ἐλθόντα θεὰ θεό ν , αὐτὰρ ἐγώ τοι νημερτέως τὸν μῦθον ἐνισπήσ ω].

317col2 καὶ τὸ εἴρεαι τοίνυν ὁππόθεν εἰμέ ν ; ἐγὼ δέ κέ τοι καταλέξω οὕτως ἀκουσόμεθα· εἰ τἀληθὲς ἀκοῦσαι βουλόμενος ἐξετάζεις. καὶ τὸ Ἑρμείαν ἐρέεινε Καλυψὼ δῖα θεάω ν· ἐπάγει γὰρ αὔδα ὅ τι φρονέει ς. τὸ ἐνισπεῖν δὲ παραπλησίως οὐ μὴν ἁπλῶς τὸ εἰπεῖν, ἀλλ’ ἀληθῶς εἰπεῖν· εἴ κ ’ ἐθέλῃσθα κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν (γ 92. δ 322), καὶ τὸ νημερτέως τὸν μῦθον ἐνισπήσω, ἀναμαρτήτως τἀληθὲς ἐρῶ· κεῖται γὰρ ὡς εἰ ἔλεγεν ἐπαληθεύσομαί σοι ἀψευδῆ τὸν λόγον. καὶ τὸ ἔννεπε οὖν ἀληθῆ λέγε· τίς γὰρ τῶν ὄ χ ’ ἄριστος ἔη ν , σύ μοι ἔννεπε Μοῦσα (B 761), καὶ τὸ ἄειδε πάλιν ἀληθῆ ἐν ποιήμασι λέγε· ἀοιδὴ γὰρ ἡ ποίησις. εἰπὼν γοῦν ἀλ λ ’ ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον, ἐπάγει· αἴ κεν δή μοι τάδε κατὰ μοῖραν καταλέξῃς, ὅπερ ἐν ἄλλοις· πάντα κα τ ’ αἶσαν ἔειπε ς , ἀγακλεέ ς.

318col2 τί οὖν τὸ κατ’ αἶσαν εἰπεῖν; φησὶν οὐ δ ’ ἂν ἔγωγε ἄλλα πάρεξ εἴποιμι παρακλιδὸν οὐ δ ’ ἀπατήσω [καὶ ὅταν δὲ προείπῃ εἶθαρ δὲ προσηύδα, τὸ εὐθὺ καὶ ἀληθὲς καὶ φανερὸν ἀκουσόμεθα. ὅπερ πάλιν ἔφη ἔπος ἀντίον ηὔδ α, ἐξηγήσατο τὸ ἄντικρυς καὶ διαρρήδην, ὅπερ ἐν ἄλλοις ἔφη ἄντικρυ δ ’ ἀπόφημ ι]· τοῦ γὰρ εὐθέος λόγου δύναμις τὸ μὴ πάρεξ εἰπεῖν ἀλλὰ μηδὲ παρεκκλῖναι, καθάπερ ἐπὶ τῶν οὕτω βαδιζόντων. καὶ τὸ ἀντίον δὲ ηὔδα ἐξηγήσατο· τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐ δ ’ ἐπικεύσ ω· οἱ γὰρ ἰθὺ καὶ κατεναντίον ἰόντες οὐ κρυπτάζονται,

κρύπτουσι δὲ μάλιστα οἱ κλέπτοντες, ὅθεν ἐπὶ τοῦ ἀπατῶντος κλέπτε νό ῳ. [τί οὖν τὸ κλέπτε νόῳ;] ὅς χ ’ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν ἄλλο δὲ εἴπ η. * B f.

319col2 (10) 4 b ad κακοσσόμενος A 105: τὸ κακοσσόμενος οὐ σημαίνει τὸ κακῶς ὑποβλεψάμενος· οὐ γὰρ οἷόν τε τὸ κακῶς συναλεῖψαι διὰ τὸ σύμφωνον, οὐδ’ ἔστιν ὅπου τὸ ὑποβλέψασθαι ὄσσεσθαι λέγει· ἀλλὰ σημαίνει τὸ κακοσσόμενος (ἐν συνθέτῳ γὰρ εἴρηται) κακόμαντις. ἐπεὶ γὰρ ὄσσα ἡ θεία φωνή, ἣν καὶ Διὸς ἄγγελον ἔφη— μετὰ δέ σφισιν ὄσσα δεδήε ι , ὀτρύνου ς ’ ἰένα ι , Διὸς ἄγγελος —, Διὸς δὲ ἄγγελοι καὶ οἱ μάντεις καὶ τῆς ὀπὸς τῶν θεῶν ἀκούουσιν, ἥτις ἐστὶν ὄσσα— ὣς γὰρ ἐγὼν ὄ π ’ ἄκουσα θεῶν —, ἀπὸ τῆς ὄσσης πεποίηκε τὸ κακοσσόμενος, ἀντὶ τοῦ ὡς κακόμαντιν αὐτὸν ὀνειδίζων, ὡς εἰ ἔλεγε· κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν.

320col2 οὐδὲ γάρ ἐστιν ἁπλῶς κακολογῶν, ὅτι οὐδὲ ὄσσαν ἁπλῶς τὴν φωνὴν σημαίνει, ἀλλὰ τὴν θείαν· ἀλλ’ ἔστιν ὡς ἐπὶ κακῷ χρώμενον τῇ θείᾳ φωνῇ λοιδορῶν. εἴρηται δὲ καὶ ἐν ἄλλοις· οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τό δ ’ ἱκάν ω , ἀλ λ ’ ἀγαθὰ φορέουσα, οὐ κακὸν κληδονιζομένη. καὶ ὀσσόμενος πατέ ρ ’ ἐσθλὸν ἐνὶ φρεσί σημαίνει· ὁ ἐν αὑτῷ κληδονιζόμενος καὶ εὐχόμενος θείας τυχεῖν φήμης περὶ τῆς ἐπανόδου τοῦ πατρός. καὶ τὸ οὔ ποτέ μοι προτιόσσετο θυμός ἀντὶ τοῦ προεμαντεύετο.

321col2 καὶ ὅτι μᾶλλον ἀπὸ τῆς ὄσσης τὸ ὄσσεσθαι, αὐτὸς ἐδήλωσεν ἐπὶ τῶν μνηστήρων λέγων ἐσδ’ ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ’ ὄλεθρον, τουτέστιν ἐμαντεύοντο τοῖς μνηστῆρσιν ὄλεθρον. τοῦτο ἐπ’ ἄλλου ἐξηγήσατο εἰπών· Ξάνθ ε , τί μοι θάνατον μαντεύεα ι; τὴν δὲ ὄσσαν ὅτι θεία φωνή, ἐξηγεῖται λέγων· ἢ ὄσσαν ἀκούσας ἐκ Διό ς. λέγει δὲ αὐτὴν καὶ κληδόνα· ἤλυθο ν , εἴ τινά μοι καὶ κληδόνα πατρὸς ἐνίσποι ς. κληδών δὲ παρὰ τὸ κλέος διδόναι καὶ φέρειν· ἢ ὄσσαν ἀκούσα ς , ἥ τε κλέος μάλιστα φέρει ἀνθρώποισ ι. καὶ αὐτὸς ὁ Τηλέμαχος πατρὸς ἐμο ῦ, φησὶ, κλέος εὐρὺ μετέρχομα ι , ἤν που ἀκούσω, καὶ ᾤχετο πευσόμενος μετὰ σὸν κλέο ς , εἴ που ἔ τ ’ εἴη ς. καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη καὶ κληδὼν μέγα κλέος· πεύθετο γὰρ Κύπρονδε μέγα κλέο ς , οὕνε κ ’ Ἀχαιοὶ νήεσ ς ’ ἐς Τροίαν ἀναπλεύσασθαι ἔμελλο ν. τὴν δὲ ὄσσαν, οὖσαν θείαν φωνήν, καὶ ὀμφὴν προσαγορεύει· θείη δέ μιν ἀμφέχυ τ ’ ὀμφ ή, καὶ τὸ ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιο ί, ἐπειδὴ ἡ ὄσσα καὶ ἡ ὀμφὴ Διὸς ἄγγελός ἐστιν.

322col2 ἔστι δέ τις ἄλλη ἡ δήμου φήμη, ἡ ὑπὸ τοῦ δήμου διαδιδομένη περί τινος ἀγγελία, ὡς τὸ εὐνήν τ ’ αἰδομένη πόσιος δήμοιό τε φήμην, καὶ πάλιν χαλεπὴ δ ’ ἔχε δήμου φήμ η. καὶ ἀγορὰ πολύφημος, ἐν ᾗ πολλὰ φατίζεται. ἤδη δὲ φήμην καὶ τὴν κληδόνα που εἴρηκεν· φήμην δ ’ ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρί ς· ὥστε ὄσσα μὲν καὶ ὀμφή καὶ κληδών ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ καὶ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως· οἴεται γὰρ θείαν εἶναι φωνὴν Ὅμηρος, ἧς τοὺς μάντεις ἀκούειν— ὣς γὰρ ἐγὼν ὄ π ’ ἄκουσα θεῶν —, ταύτην δὲ μεταδίδοσθαι μηδενὸς προκατάρξαντος ἀνθρώπου ἐκ τῆς οἰκείας βουλήσεως· ὄσσα δ ’ ἄ ρ ’ ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντ η , μνηστήρων στυγερὸν θάνατον καὶ κῆ ρ ’ ἐνέπουσα, παρὰ γὰρ τὴν ὄπα τὸ ἐνέπουσ α. τὸ μὲν κακοσσόμενος σημαίνει τὸ εἰρημένον, τὸ δὲ κρήγυον οὐκ οἶδ’ ὅπως σημαίνειν τὸ ἀληθές ἀποδεδώκασιν, αὐτοῦ ἀντιτιθέντος οὐ τῷ ψευδεῖ ἀλλὰ τῷ κακῷ τὸ κρήγυο ν· ἀντίκειται δὲ τῷ κακῷ οὐ τὸ ἀληθὲς ἀλλὰ τὸ ἀγαθόν· οὐπώποτέ μοι τὸ κρήγυον εἶπε ς , ἀεί τοι τὰ κά κ ’ ἐστὶ φίλα φρεσὶ μαντεύεσθα ι.

323col2 ἔστι δὲ τὸ κρήγυον τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές, ὃ ταὐτὸν τῷ θυμῆρες. καὶ ἐν ἄλλῳ· οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες, οὐ γὰρ παρὰ τὸ προσῆκον τὰ κακὰ ἠγόρευσας. καὶ ὁ νηκερδὴς οὖν ἐναντίος καὶ μὴ φειδόμενος τοῦ ἀγορεύειν τὰ κακὰ οὐ πώποτε τὰ κρήγυα λέγει. οἶμαι δὲ ὅμοιον εἶναι τὸ μάντι κακῶν τῷ αἰναρέτη, ὃ σημαίνει κακωτικὴν ἀρετὴν κεκτημένε, καὶ τῷ ὀλοόφρω ν· σημαίνει γὰρ τὸν βλαπτικὴν ἔχοντα φρόνησιν. καὶ οὐλόμενος δὲ ὁ ὀλοὸν ἔχων τὸ μένος, οὐλομένη δὲ ἡ μῆνις ἡ ἐξ ὀλοοῦ μένους γενηθεῖσα· ὁ γὰρ ταύτην ἔχων ὀλοός·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλ λ ’ ὀλοῷ Ἀχιλῆι θεοὶ βούλεσ θ ’ ἐπαρήγει ν. ταῦτα μὲν οὖν ἔστι λέγειν τοῖς ἀγαθόν τι κεκτημένοις καὶ διὰ τοῦδε βλάπτουσι καὶ μὴ ὠφελοῦσιν· ἥ τε γὰρ ἀρετὴ καὶ ἡ φρόνησις καὶ τὸ μένος καὶ ἡ μαντικὴ τῶν ἀγαθῶν, οἱ δὲ μὴ δι’ αὐτῶν ὠφελοῦντες ἀλλὰ λυποῦντες εἰκότως ὡς ἐπὶ κακῷ κεκτημένοι τὸ ἀγαθὸν διαβάλλονται.

324col2 ἀλλὰ δὴ εἴωθε συντιθέναι εἰς διαβολήν τινων ὡς δυσωνύμων οἷον τὸ Δύσπαρι καὶ τὸ μῆτερ ἐμὴ δύσμητερ καὶ ἦ τάχα Ἶρος ἄιρο ς· ἔστι γὰρ ὁ κακόιρος, ὡς ἡ ἄμορφος γυνή· καὶ τὴν Ἴλιον Κακοΐλιον οὐκ ὀνομαστή ν· διὰ γὰρ τοῦ οὐκ ὀνομαστήν τὸ δυσώνυμον ἐπεσημήνατο. ιη′.

324 (11n) (In cod. per errorem numero ιζ′ signatum) editum Z 252. ιθ′, κ′, κα′. Edita Σ 100. κβ′. Editum H 298. κγ′. Ἦ δὴ ἀλιτρός ἐσσι καὶ οὐκ ἀποφώλια εἰδώς (ε 182). ἀλιτρός ὁ ἀλιτήριος, ἁμαρτωλός, ἀποφώλια δὲ τὰ ἀπαίδευτα. πῶς οὖν ἁμαρτωλός τε εἶ καὶ οὐκ ἀπαίδευτός φησιν; ἀλλὰ λέγει· πάνυ ἥμαρτες καὶ οὐκ ὢν ἀπαίδευτος, ὡς εἰώθαμεν λέγειν· θαυμάζω, πῶς σοφὸς ὢν ἥμαρτες. θαυμάζει δὲ καὶ ἡ Καλυψώ, πῶς ἀπιστεῖ ἑαυτῇ 〈ταύτη cod.〉 ὁ Ὀδυσσεύς, εἰ μὴ ὀμόσει περὶ τῆς ἐκπομπῆς, καίπερ οὐκ ὢν ἄφρων καὶ γνώμης θείας εὐσύνετος καὶ ἐρώσης. κδ′ et κε′. Edita T 71 sqq. et 79 sqq. κς′. Editum B 88, ubi quod dedi „ rec t . quaestio 27“ errori debetur. κζ′. Editum Θ 233. κη′. Editum Λ 155. κθ′. Editum I 1, p. 131, 9 sqq. λ′. Editum Π 174. λα′. Vatic.

325col1 (10) Οὐ γὰρ ἔσαν λιμένες νηῶν ὀχοὶ οὐ δ ’ ἐπιωγαί (ε 404). τίνι διενηνόχασιν ἐπιωγαὶ λιμένων, καὶ πόθεν προσέβαλέ τις τὸ ὄνομα; ἔφην οὖν ὅτι ἰωὴν τὴν πνοὴν λέγει, ὥς που εἴρηκεν· ἐξ ἀνέμου πολυπλάγκτοιο ἰωῆς (Λ 308), ποιήσας ἀπὸ τοῦ ἄειν, ὃ σημαίνει τὸ πνέειν. ἐπεὶ δὲ καὶ ἐπὶ τοῦ φωνεῖν καταχρηστικῶς ἔφη, αὖε δ ’ ἑταίρους (Λ 461), καὶ τὴν φωνὴν ἰωὴν κέκληκε· τὸν δ ’ αἶψα περὶ φρένας ἤλυ θ ’ ἰωή (Κ 139). [καὶ τὸ ἤυσε παρὰ τὸ ἄειν] καὶ μεταφορικῶς· λεύσσω δὴ πυρὸς δηίοιο ἰωήν (Π 127). κυρίως οὖν ἰωῆς τῆς πνοῆς οὔσης καὶ τοῦ ἄγνυσθαι σημαίνοντος τὸ κλᾶσθαι, ἰωγή λοιπὸν ἡ τῆς πνοῆς ἂν εἴη κλάσις. ἔφη οὖν που· εὗδον Βορέω ὑ π ’ ἰωγῇ (ξ 533), ὅπου ἄγνυται ἡ τοῦ Βορρᾶ πνοή.

326col1 καὶ ἐπιωγαί μὲν οὖν ῥηθήσονται τόποι ἀλίμενοι μὲν δυνάμενοι δὲ διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην δέξασθαι ναῦς. T ( p.

325col2 (10) 83) ε 404. Οὐ γὰρ ἔσαν λιμένες νηῶν ὀχοὶ οὐ δ ’ ἐπιωγα ί. τί διενηνόχασιν ἐπιωγαὶ τῶν λιμένων, καὶ πόθεν τὸ ὄνομα προσέβαλέ τις; ἔφη οὖν ὅτι ἰωὴν τὴν πνοὴν λέγει, ὥς που εἴρηκε· ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆ ς, ποιῶν ἀπὸ τοῦ ἄειν, ὃ σημαίνει τὸ πνεῖν. ὅθεν, ἐπειδὴ καὶ ἐπὶ τὴν φωνὴν καταχρηστικῶς ** αὖε δ ’ ἑταῖρον, καὶ τὴν φωνὴν ἰωὴν κέκληκε· τὸν δ ’ αἶψα περὶ φρένας ἦλθεν ἰω ή. [καὶ τὸ ἤυσεν παρὰ τὸ ἄειν] καὶ μεταφορικῶς· λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηίοιο ἰωή ν. κυρίως οὖν τῆς πνοῆς ἰωῆς οὔσης καὶ τοῦ ἄγνυσθαι σημαίνοντος τὸ κλᾶσθαι, Βορέω ὑ π ’ ἰωγ ῇ, ὅπου ἄγνυται ἡ πνοὴ τοῦ Βορέου [ἡ τῆς φωνῆς κλάσις], αἱ ἐπιωγαί κληθήσονται τόποι ἀλίμενοι μὲν δυνάμενοι δὲ διὰ τὸ ἀπὸ τῶν ἀνέμων σκέπην ** λβ′.

326 (6n) ( Transiit in scho l. * B f. 253 b ad ἤ κε Σ 308, et L f. 401 a ibi d., Π) Πρὸς τοὺς ἀδυναμίαν Ὁμήρου κατηγοροῦντας ἐκ τοῦ πολλάκις τὰς αὐτὰς ῥήσεις ποιεῖν λέγοντας τούς τε ἐκπέμποντας καὶ τοὺς πεμπομένους ἀγγέλους καὶ κήρυκας ἢ διηγουμένους πράξεις ἢ λόγους ῥηθέντας πρότερον, ἄξιον σημειοῦσθαι, ὅπως ποικίλλων αὐτὸς ἑαυτὸν ἄλλως καὶ ἄλλως ἑρμηνεύει διὰ δύναμιν. οἷον εἰπὼν τὸ ξυνὸς Ἐνυάλιος (Σ 309) καὶ ἐξηγησάμενος πῶς κοινός· καί τε κτανέοντα κατέκτα, ἄλλως τοῦτο λέγων φησίν· ἤ τ’ ἔβλη τ ’ ἤ τ’ ἔβα λ ’ ἄλλον (Λ 410), καὶ πάλιν ἄλλως· ἤ κε φέροιτο μέγα κλέος ἤ κε φεροίμην (Σ 308), ἕλοιμί κεν ἤ κεν ἁλοίην (Χ 253), καὶ πάλιν νίκη δ ’ ἐπαμείβεται ἄνδρας (Ζ 339). πάλιν τὸ τειχίσαι πόλιν καὶ κύκλῳ περιβαλεῖν τὸ τεῖχος καὶ ὅλως τὰ κυκλοτερῶς συνέχοντά τι ἑρμηνεύει λέγων· ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει (ζ 9) καὶ περὶ δ ’ ἕρκος ἔλασσε (Σ 564) καὶ ἤλασε τάφρον ἐ π ’ αὐτῷ (Ι 349), εἶτ’ ἄλλως ἑρμηνεύων φησὶ τεῖχος ἐς ἀμφίχυτον (Υ 145), τὸ πέριξ κεχυμένον. καὶ ἐπ’ οἴκου κύκλῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιέχοντος· περὶ δὲ κλίσιον θέε πάντη (ω 208), ὡς τὸ περὶ δὲ χρύσεος θέε πόρκης (Ζ 320), καὶ ἄλλως· ἐν δὲ μετώπῳ λευκὸν σῆ μ ’ ἐτέτυκτο περίτροχον ἠύτε μήνη (Ψ 454).

327 ὅρα δὲ ἄλλων ὀνομάτων ἀφθονίαν ἐν ἑνὶ καὶ ταὐτῷ μέρει· ἄνδρα φησὶ βαλών (Ζ 7), καὶ ἐπάγει· τὸν δὲ σκότος ὄσ ς ’ ἐκάλυψεν (v. 11), εἶτ’· Ἄξυλον δ ’ ἄ ρ ’ ἔπεφνε (v. 12), καὶ ἐπιφέρει· ἀλ λ ’ ἄμφω θυμὸν ἀπηύρα (v. 17), εἶτ’ ἄλλως· Δρῆσόν τ ’ Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν (v. 20), εἶτα· καὶ μὲν τῶν ὑπέλυσε μένος (v. 27), αὖθις· Ἀστύαλον δ ’ ἄ ρ ’ ἔπεφνεν (v. 28), ἔπειτα· Ἀντίλοχος δ ’ Ἄβληρον ἐνήρατο (v. 32), μεθ’ ἃ ἐπιφέρει· Φύλακον δ ’ ἕλε Λήιτος ἥρως (v. 35), εἶτ’ ἀνάπαλιν· Ἄδρηστον δ ’ ἄ ρ ’ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος ζωὸν ἕλεν (v. 37), ἔπειτα ἐξ ὑπαρχῆς· τὸν δὲ κρείων Ἀγαμέμνων οὖτα κατὰ λαπάρην (v. 63), ἔπειτα ὁ Νέστωρ φησίν· ἀλ λ ’ ἄνδρας κτείνωμεν (v. 70). II. Hoc denique loco secundum librorum Iliadis ordinem quaestiones nonnullae sequantur e reliquis codicibus petita e , quae aeque atque Vaticana e , quas quidem hic edidimu s , non ad unum locum explicandum spectant sed plures res complectuntu r: ζητ. 33. , ( * B f. 65 a ad ἀγρῷ Ε 137, L f. 97 b ibi d., Π). Ἐν μὲν τοῖς ἀγροῖς τὰς οἰκοδομὰς οὕτω καταλέγουσιν· αὐλ ή, καὶ ἐν ταύτῃ σταθμο ί, ἔνθα ἕστηκε τὰ ζῶα, καὶ κλισίαι, ἔνθα καθεύδουσιν οἱ ἄνθρωποι, καὶ σηκο ί, ἔνθα ἐγκλείουσι τὰ νεογνά, ὅταν τὰς μητέρας ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσι. καὶ ἐπὶ μὲν τῆς αὐλῆς · ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐ π ’ εἰροπόκοις ὀίεσσιν χραύσῃ μέν τ ’ αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσῃ (Ε 137. 38). λέγει δὲ καὶ μέσαυλον, ὅτι ὁ τῆς αὐλῆς τόπος ἐν μέσῳ ἐστὶ τῶν ἀγρῶν· βοῶν ἀπὸ μεσσαύλοιο (Λ 548).

328 αὐλῆς ἐν χόρτῳ δέ φησι (Λ 774), τῷ περιωρισμένῳ τόπῳ καὶ περιέχοντι τὸ χώρισμα τῆς αὐλῆς. περὶ δὲ τῶν σταθμῶ ν· ἀλλὰ κατὰ σταθμοὺς δύετα ι , τὰ δ ’ ἐρῆμα φοβεῖται (Ε 140), δηλονότι εἰς τόπον ἐνδοτέρω τῆς αὐλῆς, ὃν σταθμὸν προσηγόρευον ἀπὸ τῶν ἑστώτων ἐν αὐτῷ ζώων. διὸ καὶ Ἥφαιστος ποιεῖ σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς (Σ 589)· κατηρεφεῖς γὰρ καὶ ἐστεγασμέναι αἱ κλισίαι διὰ τὸ τὴν αὐλὴν μὴ εἶναι τοιαύτην· τὸ γὰρ κατηρεφέας ἐκ κοινοῦ τῶν τε κλισιῶν καὶ τῶν σταθμῶν ἀκούουσι. σηκοὶ δέ, ἔνθα συνέκλειον τὰ νεογνά· ὡς δ ’ ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας ἐλθούσας ἐς κόπρο ν , ἐπὴν βοτάνης κορέσωντα ι , πᾶσαι ἅμα σπαίρουσιν ἐναντία ι , οὐδέ τι σηκοὶ ἴσχου ς’ , ἀλ λ ’ ἀδινὸν μυκώμεναι ἀμφιθέουσι μητέρας (κ 410 sqq.). λέγει δὲ πάλιν (ι 219 sqq.)· στείνοντο δὲ σηκοὶ ἀρνῶν ἠ δ ’ ἐρίφων · [ διακεκριμέναι δὲ ἕκασται ἔρχατ ο , χωρὶς μὲν πρόγονο ι , χωρὶς δὲ μέτασσα ι , χωρὶς δ ’ αὖ θ ’ ἕρσα ι]· ἕρσας καλεῖ ὁ ποιητὴς τὰς ἁπαλὰς καὶ νεογνὰς καὶ νεηγενέας γαλαθηνάς (δ 336)· συμβέβηκε ταύτας ἐν τοῖς μυχοῖς καθεῖρχθαι. καὶ πάλιν· Τρῶες δ ’ ὥσ τ ’ ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκὸν ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα ἀρνῶν (Δ 433 sqq.

329 )· αὗται γὰρ ἐν τῇ αὐλῇ ἀμέλγονται· τὰ γὰρ ἀρνία ἐν τῇ σηκῷ κατακέκλεισται. ἐκ τούτων τοίνυν μεταφέρων ἐπὶ τῶν Τρώων φευγόντων φησίν· ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντ ο , καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠύτε ἄρνες (Θ 130. 31)· ἠλάθησαν γὰρ τῆς Ἰλίου εἰς τὸν ἐνδότατον τόπον, ὡς εἰς σηκὸν ἄρνες. ταῦτα μὲν οὖν ἐν ἀγροικίᾳ· ἐν δὲ τῇ πόλει, ἀνάλογον τῷ σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς λέγειν· πλῆντο δ ’ ἄ ρ ’ αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν (θ 57). αἴθουσαι δὲ αἱ ὑψηλαὶ στοαὶ ἀνθήλιοι παρὰ τὸ καταίθεσθαι ὑπὸ τοῦ ἡλίου. εἶτα αὐλ ή· κατὰ γὰρ παράληψιν τῆς αὐλῆς ἔφη τὰ ἕρκε α· ἐν γὰρ ἄλλοις τὸ πλῆρες ἔφη· καὶ τό τ ’ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας ῥήξας ἐξῆλθον καὶ ὑπέρθορον ἑρκίον αὐλῆς (Ι 475. 76)· καὶ πάλιν ἄλλως ἔφη· παρὲκ μέγα τειχίον αὐλῆς (π 165). ἄλλοι δὲ ἀκριβέστερον αἰθούσας λέγουσι τῆς αὐλῆς τὰς στοάς, ἵνα μὴ ἔξω ὦσι τῆς αὐλῆς, ἀλλὰ τὸ μὲν ἄστεγον καὶ ὑπαίθριον αὐλή, αἱ δὲ πέριξ τοῦ ὑπαιθρίου στοαὶ αἴθουσαι· αὐτὸς γὰρ ἔφη· οὐδέ πο τ ’ ἔσβη πῦ ρ , ἕτερον μὲν ὑ π ’ αἰθούσῃ εὐερκέος αὐλῆ ς , ἄλλο δ ’ ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων (Ι 471 sqq.). ἦσαν γὰρ μετὰ τὰς αἰθούσας οἱ πρόδομοι, ὧν πάλιν ἐνδότεροι θάλαμοι, οὓς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μυχοὺς καλεῖ διὰ τοῦτο· κέκλετο δ ’ Ἀρήτη λευκώλενος ἀμφιπόλοισι δέμν ι ’ ὑ π ’ αἰθούσῃ θέμεναι (η 335.

330 6), εἶτα ἐπιφέρει· ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς τρητοῖς ἐν λεχέεσσιν ὑ π ’ αἰθούσῃ ἐριδούπῳ · Ἀλκίνοος δ ’ ἄ ρ ’ ἔλεκτο μυχῷ δόμου ὑψηλοῖο (η 344 sqq.). ὅτι γὰρ τῆς αὐλῆς ἔνδον εἰσὶν οἱ δόμο ι, σαφῶς παρίστησι διὰ τούτων· αὐτί κ ’ ἔπει τ ’ ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος (δ 674), εἶτα ἐπάγει· κῆρυξ γάρ οἱ ἔειπε Μέδω ν , ὃς ἐπεύθετο βουλὰς αὐλῆς ἐκτὸς ἐὼ ν , οἱ δ ’ ἔνδοθι μῆτιν ὕφαινον (δ 677. 78). [καὶ πρόδομος οὖν ὁ μεταξὺ τόπος τοῦ τε δόμου καὶ τοῦ θαλάμου· ἄλλο δ ’ ἐπὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων (Ι 473)]. καὶ ὅταν οὖν λέγῃ· ἀλ λ ’ ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε ἐκ φόνου εἰς αὐλήν (χ 375. 76), ἐκ τῶν δόμων λέγει. ζητ. 34. * B f. 132 b ad οὔ νυ καὶ Κ 165. ...... ὁ δ’ ἀπὸ κοινοῦ τρόπος ἐστὶ καὶ παρ’ αὐτῷ καὶ ἐν τοῖς τοιούτοις· οὐ γὰρ πώπο τ ’ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους (Α 154)· ἀπὸ κοινοῦ γὰρ οὐδὲ τοὺς ἵππους ἤλασαν.

331 ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντ ο , Τρῶες δ ’ αὖ θ ’ ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο (Γ 1. 2)· ἐκ κοινοῦ γὰρ θωρήσσοντο. παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοὶ δαίνυντ ο , Τρῶες δὲ κατὰ πτόλιν ἠ δ ’ ἐπίκουροι (Θ 476. 77)· δαίνυντο δηλονότι. πολλὰ δὲ τόνδε κασίγνηται καὶ πότνια μήτηρ ἐλίσσον θ’ , ὁ δὲ μά λ ’ ἀναίνετ ο , πολλὰ δ ’ ἑταῖροι (Ι 584. 85)· ἐκ κοινοῦ γὰρ τὸ ἐλίσσοντο. ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου (Λ 793), ἀγαθοῦ· οὐ πᾶσα γὰρ παραίφασίς ἐστιν ἀγαθή, ἀλλὰ τοῦ ἀγαθοῦ, ὥστ’ ἐκ κοινοῦ τὸ ἀγαθή· τὸ δ’ ἐπὶ τοῦ ἑταίρου ἀκουστέον ἀρσενικῶς. πάλιν οἱ δ ’ ἀμ φ ’ Ἰδομενῆα θωρήσσοντο · Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν (Δ 252)· τὸ γὰρ θωρήσσετο προσυπακούομεν ἀπὸ τοῦ θωρήσσοντο. χώρησαν δ ’ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ (Π 588)· ἐκ κοινοῦ τὸ ἐχώρησεν. εὗ ρ ’ υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον ἑσταό τ’ · ἀμφὶ δ ’ Ἀθηναῖοι μήστωρες ἀυτῆς (Δ 327)· ἐκ κοινοῦ τὸ ἕστασαν ἀπὸ τοῦ ἑσταότα. τῇ ῥ’ ἐνόρου ς’ , ἅμα δ ’ ἄλλοι ἀριστῆες Παναχαιῶν, δηλονότι ἐπόρουσαν. ὡς ἂν Πηλείδην τιμήσομε ν , ὃς μέ γ ’ ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες (Π 271)· ἀπὸ τοῦ ἄριστος καὶ ἄριστοι οἱ θεράποντες ἀκουσθήσονται. οὐ δ ’ ἄ ρ ’ ἔμελλε δίφρῳ ἐφέζεσθα ι , πολλῶν κατὰ οἶκον ἐόντων (δ 716)· ἐκ κοινοῦ δίφρων. καμάτῳ τε καὶ ἱδρῷ νωλεμὲς ἀεὶ γούνατά τε κνῆμαί τε παλάσσετο (Ρ 385)· ὡς ἐκ κοινοῦ τὸ παλάσσοντο ληπτέον, καὶ ἐπὶ μὲν τῶν γονάτων οἰκείως εἴρητο, ἐπὶ δὲ τῶν κνημῶν ὑπακουστέον. ἐκ πόλιος δ ’ ἄξεσθε βόας καὶ ἴφια μῆλα καρπαλίμω ς , οἶνον δὲ μελίφρονα οἰνίζεσθ ε , σῖτον δ ’ ἐκ μεγάρων (Θ 505—7)· οὔτε γὰρ οἰνίζεσθε οὔτε ἄξεσθε, ἀλλὰ φέρετε ἢ λαμβάνετε.

332 καὶ πάλιν· οἱ μὲν ἔπει θ ’ ἵζοντο κατὰ στίχα ς , ἧχι ἑκάστῳ ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχ ε ’ ἔκειτο (Γ 326)· οὐ γὰρ καὶ οἱ ἵπποι ἔκειντο, ἀλλὰ τὸ εἱστήκεισαν ἀκούομεν ἢ ἦσαν, ὡς ἐπὶ τοῦ ποῦ δέ οἱ ἔντεα κεῖτο ἀρήϊ α , ποῦ δέ οἱ ἵπποι (Κ 407); ὑπακουσόμεθα γὰρ τὸ εἰσίν ἢ εἱστήκεισαν. οὐ μὰν ἀκληεῖς Λυκίην κατακοιρανέουσιν ἡμέτεροι βασιλῆε ς , ἔδουσί τε πίονα μῆλα οἶνόν τ ’ ἔξαιτον (Μ 318—20), δηλονότι πίνουσι. τὰ τοιαῦτα παρατηρῶν τις πολλὰ λύσει τῶν ζητουμένων κατὰ τὸ παραπλήσιον. τούτοις γὰρ ὅμοιον τὸ ἀλλὰ πολὺ πρὶν φραζώμεσ θ ’ ὥς κεν καταπαύσομε ν , ἠδὲ καὶ αὐτοὶ παυέσθων · καὶ γάρ σφιν ἄφαρ τόδε λώϊόν ἐστιν (β 167 —69). ἐκ κοινοῦ γὰρ δεῖ λαβεῖν τὸ παυέσθων καὶ σχηματίσαι οἰκείως τοῖς ἑξῆς, ἵν’ ᾖ· καὶ γὰρ καὶ αὐτοῖς ἄφαρ παυσαμένοις καὶ ταχέως, πρὶν ἐλθεῖν τὸν Ὀδυσσέα, λώϊόν ἐστι· προείρηται γὰρ ἀλλά που ἤδη ἐγγὺς ἐὼν τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει πάντεσσι (β 164—66)· τὸ δὲ ἄφαρ χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν (Ν 814) ἐν ὑπερβατῷ εἴρηται· ἐπεὶ εἰσὶ γὰρ καὶ ἡμῖν χεῖρες ὥστ’ ἄφαρ ἀμύνειν. [τὸ δὲ αἲ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης ὣ δ ’ ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους (Κ 536. 37) δῆλον οὐ τὸ ταχέως.

333 ἀπὸ δὲ τοῦ ἄφαρ ἔοικεν ἐν συνηθείᾳ εἶναι τῶν Ἀλεξανδρέων τὸ λέγειν ἀφαρεὶ πεποίηκε, τὸ ἐσπευσμένως καὶ τεθορυβημένως. Ὅμηρος δὲ ἀπὸ τοῦ ἄφαρ πεποίηκε τὸ ἀφάρτεροι, οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταχύτεροι· τῶν δ ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι (Ψ 311), ἤτοι ταχύτεροι]. πολλάκις δὲ ὁ ποιητὴς ἐν ἄλλοις μὲν τὸ πλῆρες λέγει, ἐν ἄλλοις δὲ τὸ ἐλλιπές, καὶ δεῖ ἀναπληροῦν μαθόντας παρ' αὐτοῦ τί ἦν τὸ λεῖπον, οἷον εἶπέ που· ὡς δ ' αὔτως καὶ κεῖνο ἰδὼν ἐτεθήπεα θυμ ῷ , ὡς σ ὲ , γύνα ι , ἄγαμαί τε τέθηπά τε δείδια δ ' αἰνῶς (ζ 166. 8). [λέγει οὖν ὡσαύτως, ὅπερ καὶ ἐν τῇ συνηθείᾳ λέγεται· ὡσαύτως με ἀδικεῖς ὡς καὶ πολλάκις]. καὶ ὅταν οὖν λέγῃ· αὔτως γὰρ ἐπέεσ ς ' ἐριδαίνομεν (Β 342), λείπειν φήσομεν τὸ ὡς, ἵν' ᾖ· ὡσαύτως γὰρ λόγοις μόνοις ἐριδαίνομεν, μηχανὴν δὲ εὑρεῖν, οὗ ἕνεκα ἐληλύθειμεν, οὐ δυνάμεθα. ὅμοιον καὶ τὸ ἀλ λ ' αὔτως ἀλάλημαι ἀ ν ' εὐρυπυλὲς Ἄιδος δῶ (Ψ 74), τουτέστιν· ὡσαύτως ὡς κατῆλθον καὶ ἐξ οὗ κατῆλθον ὁμοίως ἀλάλημαι. οὕτως ἀκουσόμεθα καὶ τὸ οὔπω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως (π 143), ὡσαύτως καὶ ὁμοίως. [ κτενέει δέ με γυμνὸν ἐόντα αὔτως ὥστε γυναῖκα (Χ 124), ὡσαύτως ὡς γυναῖκα]. αὔτως οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο (Κ 50)· ὡσαύτως οὔτε θεᾶς υἱὸς ἔρεξεν οὔτε θεοῖο. ζητ. 35. * B f. 322 b ad ἀείκιζε Ω 22 ( i d . Mos q . ibi d., Π). ******* αἰκία δὲ οὐχ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος, παρὰ τοῦ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν, ὥς φησιν δαίνυ δαῖτα γέρουσιν · ἔοικέ το ι , οὔτι ἀεικές (Ι 70), ὡς εἰ ἔλεγε· πρέπει σοι καὶ καθήκει τοῦτο.

334 ὅτι δὲ ἡ αἰκία καὶ ἐπὶ τοῦ αἴσχους δηλοῖ· εἰπὼν γὰρ τοῖο δ ' Ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ (Ω 18), εἶτά φησιν αἶσχος ἄπειρον ἐξηγούμενος τὴν ἀεικίαν· ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο ἕλκει ἀκηδέστω ς , οὐδέ μιν αἰσχύνει (Ω 416—18)· [ κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων (Ω 54), ὑβρίζει ἢ ἀεικίζει, ἐφ' οἷς οὐκ ἄν τις εἴξειεν· ἢ ἀνόμοιον ποιεῖ τῷ πρόσθεν καὶ οὐκ ἐοικὸς ἑαυτῷ. ὅθεν ἐπαγγελλόμενος τὸ μὴ αἰκίσαι φησίν· ἀλ λ ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχ ε' , Ἀχιλλε ῦ , νεκρὸν Ἀχαιοῖσι δώσω πάλιν (Χ 258. 9)] [ οὐ γὰρ ἐγώ ς ' ἔκπαγλον ἀεικιῶ (Χ 256), πρὸς ὃ εἶπεν οἷον χωρὶς τοῦ ἀπεοικότα γενέσθαι· δώσω τὸν νεκρόν.] τὸ δὲ παρὰ τὸ καθῆκον ἀεικέλιον λέγει· δμωάς τε γυναῖκας ῥυστάζοντας ἀεικελίως (π 108). ῥυστάζειν δὲ τὸ ἕλκειν εἰς ὕβριν· πῶς νῦ ν , εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισιν ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆ ς ; σοί τ ' αἶσχος λώβη τε με τ ' ἀνθρώποισι γένοιτο (ς 223—5)· τὴν γὰρ ὕβριν ἔφη ῥυστακτὺν μεταφορικῶς ἀπὸ τῶν ἑλκομένων· οὐ γὰρ εἱλκύσθη ἀλλ' ὑβρίσθη. τὸ μέντοι ἕλκειν εἰς ὕβριν ἔφη· Λητὼ δὲ εἵλκυσεν, ὕβρισε, Διὸς κυδρὴν παράκοιτιν (λ 580). καὶ ἐκ πλήρους ἐν ἄλλοις· ἑλκύσουσιν ἀεικελίως (Χ 336). παρατηρητέον δὲ τὰ ἐκ πλήρους παρ' αὐτῷ λεγόμενα, ἵνα καὶ τὰ ἐλλιπῶς προενηνεγμένα ἐκεῖθεν ἀναπληρώσωμεν. ἐκ πλήρους μὲν γὰρ ἔφη· πῶς κεν ἔοι τάδε ἔργα (Λ 837); ἐλλιπῶς δὲ πῶς κ ' ἔο ι , εἴ τις νῶι θεῶν αἰειγενετάων εὕδον τ ' ἀθρήσειε (Ξ 333); καὶ ἔτι ἐλλιπέστερον πῶς οὖ ν , εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισιν (ς 223); τὸ δὲ πλῆρες· πῶς κεν ἔοι τάδε ἔργα; [ὅτι δὲ τὸ ἀεικίζειν ἤτοι αἰκίζειν τὸ μὴ ἐοικότα ποιεῖν, δῆλον ἐκ τοῦ ἀλλὰ κατῄκισται (π 290.

335 τ 9), τουτέστιν ἀλλ' ἀνωμοίωται]. [καὶ ἀσκηθής οὖν ὁ μὴ παθὼν ἀεικέλια, μηδ' ἀάσχετα μηδ' αἰσχυνθείς, ἀλλ' ὁλόκληρος. ἐξηγεῖται δὲ αὐτός· ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο τεύχεσί τε ξύμπασι καὶ ἀγχεμάχοις ἑτάροισι (Π 247. 8). τούτῳ ἴσον τὸ ἀρτεμή ς· ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα (Ε 515)].

Eulogikon public reading copy · View original HTML at eulogikon.org